BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

# NICEPHORVS BASILACA

## ORATIONES ET EPISTOLAE

EDIDIT

A. GARZYA

FK
42250
.984

84
8
17526

LEIPZIG
B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1984

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/1
UNIVERSITÄT LEIPZIG

FK 42250.984

p

UNIVERSITÄTSBIBLIOTHEK
LEIPZIG
0005466705

Jahr | lfd. Nummer | Band | Unterteile
84 | 8 1 7 5 2 6 4 | |
Format | PZ | Staffel

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/3
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/4
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/5
UNIVERSITÄT LEIPZIG

AKADEMIE DER WISSENSCHAFTEN DER DDR
ZENTRALINSTITUT
FÜR ALTE GESCHICHTE UND ARCHÄOLOGIE

# BIBLIOTHECA
## SCRIPTORVM GRAECORVM ET ROMANORVM
# TEVBNERIANA

LEIPZIG

BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1984

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/6
UNIVERSITÄT LEIPZIG

# NICEPHORI BASILACAE
# ORATIONES ET EPISTOLAE

RECENSVIT

ANTONIVS GARZYA

LEIPZIG

BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT

1984

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/7
UNIVERSITÄT LEIPZIG

BIBLIOTHECAE TEVBNERIANAE
HVIVS TEMPORIS
REDACTOR: GÜNTHER CHRISTIAN HANSEN

UNIVERSITÄTS
BIBLIOTHEK
LEIPZIG

84-8-17526
D
28.8.84
4 h 200

© BSB B. G. Teubner Verlagsgesellschaft, Leipzig, 1984

1. Auflage
VLN 294/375/6/84 · LSV 0886
Lektor: Manfred Strümpfel
Printed in the German Democratic Republic
Gesamtherstellung: INTERDRUCK Graphischer Großbetrieb Leipzig,
Betrieb der ausgezeichneten Qualitätsarbeit, III/18/97
Bestell-Nr. 666 174 4
04700

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/8
UNIVERSITÄT LEIPZIG

# A

Cum Nicephorus Basilaca aetate iam provectus, videlicet post annum c. 1160, scripta sua praecipua, quae sparsa dissipataque circumferebantur, in unum undique contracta cogere vellet, *Πρόλογον* his collectaneis praemisit, qui inter auctoris vitae narrationem et de eiusdem temporis litteris disputatiunculam medius fere exstat. a principio Basilaca grammatices poesis rhetorices quae hausit rudimenta primaque harum rerum pericula quae fecit commemorat; dein de contentionibus dissensionibusque grammaticis sibi aequalibus uberius agit: novam schedarum, quae dicebantur, componendarum rationem se ipsum induxisse, quae eo ceterorum praeceptorum invidiam conflaverit, ut eius sectatores *βασιλακισμοῦ* insimularentur, quo modo olim Philippi Macedonis fautores *φιλιππισμοῦ*; cum autem se his molestiis expedivisset, multa carmina eademque polymetra elaborasse necnon satiras quattuor, quae omnia vel auctor ipse deleverit vel casus disperserit. hoc loco epistolis pluribus, quas ad usum avunculi sui, civilis viri, confecerit, breviter memoratis Nicephorus ait se non amplius iuvenes domi et intra privatos parietes instituisse, sed *διδασκάλου τοῦ ἀποστόλου* dignitate apud patriarchatum adepta ex cathedra S. Sophiae Paulum explanavisse, quaestiones ad mores pertinentes prosecutum esse (annis c. 1140–1150), bene quidem ac feliciter, at non sine rixis atque invidia ex parte ecclesiasticorum C.politanorum (de eventibus, qui secuti sunt, Basilaca reticet, sed aliunde constat eum annis 1156–1157 anathematizatum, *διδασκάλου* munere privatum, in exsilium eiectum esse). hisce positis auctor suae orationis habitum, qualis sit, adumbrat; earum rerum, quae volumine continebantur, quaeque omnes duobus operibus exceptis hic eduntur, indicem explicitum praebet (desunt hic oratio altera in Alexium Aristenum amissa et monodiae, quas propter generis affinitatem una cum progymnasmatis colligendas curavimus); postremo de operibus mentionem addit, quae in editionem, quam parabat, selectam inserere omisit, quaeque Progymnasmata sunt, Orationes sacrae, Rectus locutor, haec duo vero deperdita.

## [... f. 524] *Τοῦ αὐτοῦ (sc. τοῦ Βασιλάκη) λόγος, ὃν ἐποίησεν ὡς πρόλογον καὶ οἱονεὶ πίνακα εἰς βίβλον περιέχουσαν πονήματα αὐτοῦ*

*Υἱέ, φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά', Σολομῶν ὁ σοφὸς ἐνουθέτησε, καὶ οὐδὲ τὴν αἰτίαν ἀγνοεῖν ἀφῆκε τοὺς θέλοντας. 'οὐκ ἔστι (φησί) περασμὸς καὶ κόπωσις πολλὴ σαρκός'· ὃ ταὐτὸν ἂν εἴη καὶ λέγειν ὡς ἀπέραντον μὲν τὸ πολυγραφεῖν, τὸ δὲ ἀπεραντολογεῖν ὡς ἐπίπονον παὶ πολέμιον σώματι. τί γοῦν δεῖ καὶ ἀνήνυτα κάμνειν ἢ διώκειν ἀκίχητα, βίβλους μὲν φιλοτεχνοῦντα καὶ λόγους ἐπαντλοῦντα κατὰ τὸν Δαναΐδων πίθον, τέλος δὲ οὐχ ὁρῶντα οὐδαμοῦ, ἢ καὶ ὡς ἐν ἀχανεῖ πελάγει περικλυζόμενον*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/9 UNIVERSITÄT LEIPZIG

*μὲν ἀεί, γῆς δὲ οὐκ ἐφικνούμενον; ὅπου γὰρ ξὺν τῷ ἀτελέστῳ καὶ τὸ ἐπίμοχθον, ἠλίθιος ὁ διαπονούμενος, ‛πάντες δὲ οἱ λόγοι ἔγκοποι’ (Σολομῶν καὶ τοῦτο ἀπεγνωμάτευσεν). ὑπὸ φροντισμάτων γὰρ καὶ Χαιρεφῶν ὁ Ἀθήνησιν ἐνόσει τὸ αἷμα, καὶ ἡ κωμῳδία ‛πύξινον’ αὐτὸν ἐκάλει. ψυχῆς δὲ πάντως ὠδῖνες αἱ φροντίδες καὶ δριμεῖαι μελεδῶνες. ἐνταῦθα μὲν οὖν τοῦτο τῆς πολυγραφίας αἰτιᾶται καὶ τοῦ πρὸς διφθέραις ἔχειν ἀεί, ἀλλαχοῦ δὲ ἄλλως τοῖς αὐτοῖς ἐφιστάνει καὶ περὶ τῶν αὐτῶν διαγνωμονεῖ ὡς οὐ χρὴ πολυλογεῖν· ἁμαρτοεπὲς γὰρ τὸ πολύμυθον. τὸ γὰρ ‛ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν’ ἐς τοῦτο διανοίας τῷδε τἀνδρὶ καὶ ἄλλοις ἐπιτείνει. ταύταιν δὴ ταῖν γνώμαιν τὴν μὲν ὁ μελιχρὸς τὴν γλῶτταν Πλάτων εἰς Ἀττικὴν εὐγλωττίαν ὑπαμείψας, ἕτερον ἐφιλοσόφησε τρόπον Ἑλλήνιον, εἰδέναι λέγων ὡς οὐκ ἀνεύθυνά οἱ ἔσται φιλοσοφοῦντι καὶ οἰκεῖα ξυντάττοντι, ὅτι μηδ’ ἔστι τῶν ἁπάντων ὃς διαφευξεῖται τὴν αἰτίαν τοῦτο τὸ μέρος· καὶ διὰ τοῦτο τῆς Σωκράτους | φιλοσοφίας ὑποφήτης γενέσθαι καὶ* 524v] *τοῖς ἐκείνου χρῆσθαι τὴν γλῶτταν ὡς ᾄσμασιν ἀνδρὸς περιδεξίου τὴν μουσικήν. τὴν δ’ ἑτέραν ἐκείνην τὴν καὶ προτέραν Μάρκος ὁ Ἀντωνῖνος ἐσύλησε, καὶ ἡμεῖς ἐπέγνωμεν ἰδόντες τὰ φώρια. ‛τὴν γὰρ τῶν βίβλων δίψαν (φησί) ῥῖψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς’, δίψαν ἐκεῖνος καλῶν τὸν εἰς αὐτὰς ἄπληστον ἔρωτα καὶ τὴν ἐντεῦθεν τῆς δοξομανίας μέθην, ἀεὶ μὲν ἐπιρρέουσαν οὐδέποτε δὲ κατανύουσαν, ἀλλ’ ἐπὶ μᾶλλον ἐκκάουσαν καὶ τηροῦσαν τὸ πολυδίψιον, κατὰ τοὺς ὅσοι τῶν ἐπισφαλεστέρων νέων τὰς γνώμας νυκτὸς καὶ ἡμέρας κωμάζοντες οὐδὲν ἧττον διψῶσι τὸν ἄκρατον, ὡς γογγυσμὸν αὖθις ἀνακεκραμένον θανάτῳ τὸ ἐκ τοῦ δυσέργου πόνηρον, ᾧ ἐπακολουθεῖ τὸ ἐπίνοσον καὶ ἡ στονόεσσα τελευτή.*

2 *Ταῦτ’ οὖν εἰδὼς ἐγώ (καὶ πῶς γὰρ οὔ, λόγοις παιδόθεν ἐντραφεὶς καὶ ὡς θεορρύτου μὲν πηγῆς καὶ τῆς παλαιᾶς σοφίας ὁσημέραι ἀπαρυόμενος, ἀλλ’ οὐδὲ τῆς θυραίας ἀμελῶν μούσης;) ἐθείαζον μὲν τῆς γνώμης τοὺς ἄνδρας, καὶ ὡς τἀληθῆ περὶ τῶν ἀνθρωπείων διαγνωμονοῦντας ἐκρότουν· ἠξίουν δὲ ὅμως μὴ μάτην τὸν τῆς σοφίας Ἑλικῶνα περιχορεύειν μηδ’ εἰς κενὸν οὕτως εὐόσμου καὶ ἡδείας ἄνθης ἀποσυλᾶν, ἀλλὰ καὶ εἰς σίμβλον τὴν καρδίαν φιλοτεχνεῖν καὶ φιλεργεῖν ὡς μέλι τὸ εὔμουσον, καὶ ὡσεὶ κηρία πλάττειν τοὺς λόγους, ἵνα, κατὰ τὴν Σολομώντειον μέλισσαν, σεμνὴν*

καὶ ἡμεῖς τὴν ἐργασίαν ποιησώμεθα, καὶ τῶν ἡμετέρων πόνων καὶ ἰδιῶται καὶ βασιλεῖς ὄναιντο ⟨μέν⟩ (οἱ μέν, παιᾶνας καὶ κρότους ἐπινικίους ἡμῶν ὑπηχούντων καὶ δωροφορούντων αὐτοῖς, γέρας τοῦτο σεμνὸν καὶ βασίλειον ⟨ἀποδέχονται⟩, οἱ δὲ τὸν ἐπαινέτην λόγον προσιέμενοι θειασμοῖς τισὶν εὐφήμου γλώττης πρὸς ἀρετὴν ὑποπτεροῦνται, καὶ ὥσπερ ὑπεσχημένον οὐ παρήσειν ἀθαύμαστον μηδὲ εἰς τὸ μέλλον περιόψεσθαι φιλοκαλοῦνται), ἀποδρέψαιντο δὲ τῆς ἐμῆς φιλοπονίας ὡς εὐανθοῦς λειμῶνος οὐκ ὀλίγα τῆς εὐμουσίας ἄνθη καὶ ὅση νεότης φιλόμουσος, ἐπιδοίη δὲ πρὸς ἐργασίαν καὶ ἄσκησιν τοῦ καλοῦ καὶ ὅση φιλευσεβὴς ἀκοὴ καὶ τὰ θεῖα φιλήκοος, ἱεροφαντούντων ἡμῶν ὑπὸ πολλῷ τῷ φωτὶ καὶ ἀνακαλυπτόντων ὁπόσα μυστηριώδη τοῦ πνεύματος.

3 Τοιαῦτα ἐφιλοτιμούμην τοιούτων ἐγλιχόμην, ἐπὶ τούτοις ἤσκουν τὴν γλῶτταν ταύτῃ τοι καὶ ὡς ἐπὶ κλίμακος ἐποιούμην τὰς ἀναβάσεις, φιλομαθῶν καὶ παιδείας ξυμπάσης τὸν νοῦν ἐμπιπλῶν. ταῦτα μὲν οὖν μετὰ τὴν γραμματικὴν ἐμπειρίαν, ἣν ἐγὼ πάγκαλόν τι προτεμένισμα τίθεμαι σοφίας τῆς ἄλλης, μετῄειν δὴ τὴν νέαν ταύτην καὶ ὡς ἐν παισὶ σοφιστικήν, τὴν ἐν ὀνόμασι κλεπτικήν. ἔθελγε γάρ μου τοῦ Ἑρμοῦ τούτου τὸ δόλιον καὶ θαμὰ θεατρίζων ὅλας νέων ἀγέλας εἰς ἑαυτὸν ἐπεσπώμην. οὐ τὸν ἀρχαῖον μέντοι τρόπον τοὺς λαβυρίνθους τούτους διετεχνώμην· ἀγλευκὲς γάρ [525] μοι ἐδόκει | καὶ ἀρχαιολογίας καὶ τέχνης ἀξέστου τὸ μὴ ξὺν ἡδονῇ λέγειν ἢ καὶ ὅλως ὑποβαρβαρίζειν. ὅθεν οὐκ ἀνίην τοὺς γρίφους καὶ τὰς πλεκτάνας, καὶ τὰ ἐκτὸς μὲν εἰς ἀγλαΐαν ὑπογράφων, ἀλλὰ δὴ καὶ τὰ ἐντὸς ἱκανῶς βοστρυχίζων καὶ διαπλέκων εἰς ὥραν· καί τις ἔδοξα τοῦτο τὸ μέρος, καὶ ἦν ἑταιρία περὶ ἐμὲ οὐ φαύλη ζήλῳ τοῦ ἐπιτηδεύματος καὶ ἱμέρῳ τῆς εὐπαιδευσίας ταύτης, ὡς ὀλίγου μεταρρυῆναι πάντας ὁπόσοι τῶν νέων εὔστομοί τε καὶ ἀκροφυεῖς ἀπὸ τῆς ἀρχαιοτρόπου καὶ παλαιᾶς σχεδικῆς ἐπὶ τὴν ἡδυεπῆ ταύτην καὶ ἡμετέραν, ἣν καὶ τὸ φαινόμενον καταμελιτοῖ καὶ τὸ κρυπτόμενον ἀγλαΐζει.

4 Καὶ ἦν ἤδη λεγόμενον τὸ βασιλακίζειν ἐν σχεδοπλόκοις, ὡς πάλαι τὸ γοργιάζειν ἐν σοφισταῖς. καὶ ὁ φθόνος πολὺς ὑπεκάετο τούτοις δὴ τοῖς τὸ ἀρχαιότροπον καὶ σαπρὸν μεταδιώκουσιν ὑπ᾽ ἀμαθίας καὶ τοῦ μὴ φύσεως εὖ ἔχειν, τοῖς τῶν χαρίτων ἐχθροῖς, τοῖς ὑποξύλοις καὶ γελοίοις τὴν πλοκήν, οὐχ ἥκιστα δὲ καὶ ὑποσολοίκοις, καὶ ταῦτα γραμματικὴν ἐπαγγελλομένοις ἐκπαιδεύειν, ἧς τὸ εὖ λέγειν καὶ ὀρθοεπεῖν ἐπιτήδευμα· ὧν καὶ τὸ ἀκριβὲς ἀμαθὲς καὶ τὸ εὐσταθὲς ἀγεννὲς καὶ τὸ ὑψηλὸν χθαμαλόν, οἳ καὶ βασιλακισμὸν ὡς φιλιππισμὸν ἢ μηδισμὸν τοῖς τῶν ἡμετέρων ζηλωταῖς ἐνεκάλουν.

5 *Μετὰ μέντοι τὴν ἐργῳδίαν ταύτην ἐπὶ τὴν μετρικὴν χάριν ἔβλεψα, καὶ ἣν πολὺς ῥέων ὡς ἐξ ἀμάρας ὑπερβλυζούσης τῆς γλώττης· καὶ ὅτι οὐκ ὀφρῦς αὐτὰ καὶ φύσημα, ἱκανὸν ἐκ τῆς φήμης εἰς δεῦρο μαρτύριον, ἣν οὐδ᾽ ὁ φθόνος οὕτω πολὺς πνεύσας ἀποσβέσαι ἴσχυσεν. οὐ γὰρ τῷ τριμέτρῳ περιέγραψά μου τὸ φιλόμετρον καί, ὡς οὕτως εἰπεῖν, φιλόρρυθμον, καὶ τούτῳ μονοειδεῖ, τῷ ἀκαταλήκτῳ λέγω καὶ καθαρῷ, πολλῷ τε ὄντι καὶ τοῖς καθ᾽ ἡμᾶς ἐπιχωριάζοντι, ἀλλὰ σμικρὸν ἡγούμενος ἰαμβίζειν μόνον ἤδη καὶ τροχαΐζειν ἐπεβαλόμην, καὶ ἄμφω ταῦτα πάντα καὶ παντοίως, καὶ οὐδὲ τῶν ἄλλων ἠμέλουν, ἵνα καὶ ἡδονή τις ἕποιτο καὶ γλώττης εὐστροφία καὶ ῥύμη νοὸς ὑποφαίνοιτο μὴ τῷ μέτρῳ μόνον, ἀλλὰ καὶ τῇ πολυμετρίᾳ καὶ τῷ πολυειδεῖ ταύτης καὶ ὑπαλλάττοντι. ἐπεὶ δὲ καὶ τὸ νέον ὡς ἐπίπαν φιλόγελων καὶ ἀστεϊσμοῦ καὶ φιλοπαιγμοσύνης ἥττον, καὶ εἰς τὸ κωμικὸν τοῦ λόγου ἐξεκυλίσθην, καὶ μάλισθ᾽ ὅτι καὶ γελωτοποιὰ τὰ τότε δρώμενα ἔτυχεν. οὕτω καὶ Σόλων ἔτι νεάζων ποιήσει ἐδεδώκει μᾶλλον παίζων ἢ σπουδάζων, καὶ εἰς ἡδονὴν πλέον ἤπερ εἰς ὠφέλειαν τὰ μέτρα ἐρρύθμιζε. τέτταρες οὖν μοι πραγματεῖαι εἰς γέλωτα ἐξεχύθησαν· Ὀνοθρίαμβος καὶ προσέτι Στύ⟨π⟩παξ ἢ Παραδεισοπλαστία, ἐπὶ τούτοις οἱ Στεφανῖται καὶ ὁ Ταλαντοῦχος Ἑρμῆς. στιχηρὰ δὲ ἄλλα καὶ οὐ συστηματικά, πολλὰ καὶ ἀνώνυμα ὡς τῶν ἀστέρων οἱ σποράδες.*

6 *Μέχρι μὲν | οὖν ἐς ἴουλον ἀνθοῦντα καὶ χνοάζουσαν παρειὰν χανδὸν τοῦ* 525v] *γέλωτος ἐνεφορούμην, καὶ ἄλλοις ἀνακεραννὺς τὸν παυσίλυπον καὶ λαθικηδῆ τοῦτον κρατῆρα, οἳ μέχρι καὶ εἰσέτι ἀποσπάδας τῆς ἐμῆς κωμικῆς παρακατέχουσι τῷ νῷ καὶ διατηροῦσι τῇ μνήμῃ. ἐπεὶ δ᾽ εἰς τὸν τῆς ἡμετέρας θεοσοφίας λειμῶνα παρακύψας ἑάλων κατάκρας ὡς οἱ γευσάμενοι τοῦ λωτοῦ, καὶ αὐτίκα ἐγενόμην τοῦ πνεύματος, καὶ ʽμακάριοι μὲν οἱ πενθοῦντες, οὐαὶ δὲ οἱ γελῶντες᾽ ἤκουσα, ταχὺ μάλα εἰς ἑαυτὸν ἐπανῄειν, ὡς ἐκ μέθης καὶ κάρου πολλοῦ διανήψας τῷ διυπνίζοντι καὶ διανιστῶντι τῆς χάριτος. ἐντεῦθεν ματαιοσπουδίαν ἑαυτοῦ καταγνούς, καὶ κλάειν οὐ γελᾶν τοὺς ἀπὸ Χριστοῦ προσήκειν μαθών, πυρκαϊὰν ὅτι μεγίστην πολλῷ καὶ καχλάζοντι τῷ τοῦ γέλωτος ὑπανάπτω βρασμῷ καὶ πυρὸς παίγνια τίθημι πάντα, ἵν᾽ ἐκφύγω τὸ τοῖς γελῶσι κληροδοτούμενον, πῦρ ἐκεῖνο τὸ ἄσβεστον. τοῦτο μὲν οὖν τοιοῦτον καὶ πολλοῖς εἰς γνῶσιν ἦλθε τότε, καὶ οὐ πάντες τὸ πρᾶγμα ἐπῄνεσαν· ὑπεῖναι γὰρ πολλὰ καὶ χαρίεντα καὶ Ἀττικῆς εὐστομίας οὐ πόρρω μηδὲ πολυμαθίας ἀπέχοντα καὶ νοημάτων ἑσμοῦ*

πλείω τὴν ὄνησιν ἐπιχορηγούντων ἢ τὸν καγχασμὸν καὶ τὸν γέλωτα. τῶν μὲν οὖν δὴ τεττάρων τούτων πονημάτων μακρηγόρων καὶ πολυστίχων πάντων οὕτω ζῆλος κατεκράτησε θεῖος καὶ τοιοῦτον κατεψηφίσατο τέλος, ὡς νῦν οὐκ ἔστιν ὃς τῶν ἐμῶν σατυρικῶν πλὴν ὀλίγων, καὶ τούτων σπαρέντων, μετρίων καὶ ὅσα δύναιτ᾽ ἂν ἴσχειν ἀνθρωπεία μνήμη. τὰ δ᾽ ἄλλα τῶν ἐμμέτρων ἄλλος ἄλλῃ παρακατέχει, καὶ τοιχωρυχοῦσιν οἱ πολλοὶ τὰ ἡμέτερα, καὶ παρὰ τοῦτο τῶν οἰκείων ἡμεῖς ἀμοιροῦμεν, οὐ μεταδιδόντων ἐκείνων· ὅθεν οὐδὲν ἡμῖν ἔμμετρον ἐνταῦθα ἐπισυνῆκται ἢ ὅσον ἐκ θαλάττης κυαθιαῖον ἄντλημα.

7 Ἐπιστολιμαίων δὲ περὶ γραμμάτων, τῷ μὲν πρὸς μητρὸς θείῳ πολλῷ τούτων ἐδέησε καὶ ἡμεῖς ὑπεδρηστεύσαμεν, ὅτι καὶ πολύφιλος ἦν ὁ ἀνὴρ καὶ ὡς ἐκ τύχης ἔχων τὸ ἀξιωματικὸν καὶ σεμνόν, καὶ πρὸς πολλοὺς μὲν εἰκὸς ἦν τοιοῦτον ὄντα ἐκεῖνον χαράττειν ἐπιστόλια, παρὰ πολλῶν δὲ κομιζόμενον αὖθις δεξιοῦσθαι τούτους τὰ φιλικά· τὸ γὰρ ἄφιλον ἀπαρήγορον καὶ ὡς ἐν ἀρχαῖς ἥκιστα χρήσιμον.

8 Ἡμῖν δὲ ὀλίγος μὲν ὁ φίλιος ὀλίγος δὲ καὶ ὁ πομπαῖος Ἑρμῆς ἄλλως τε καὶ σχολαστικὸν ἄγουσιν ἦθος καὶ εἰς τὰς τῶν δυναμένων οἰκίας οὐ θαμίζειν οὐδὲ θυραυλεῖν ἀνεχομένοις· ἀθώπευτα ἦν πρὸς πάντας, καὶ οὐδὲ χρεία τις ἤπειγεν, ὅτι μηδ᾽ εἰς τὸν τοῦ βίου βρασμὸν καὶ τὸν τῶν πραγμάτων σάλον καὶ περὶ αὐτό που μέσον τὸ ἄμφοδον φέρων ἐμαυτὸν ἔρριψα. 526] ἐνόσει δέ μοι καὶ τοῦτο ἡ γνώμη· | δυσάρεστος ἦν καὶ ἄτεγκτος κριτὴς τῶν ἐμῶν καὶ οὔ με πέρα τοῦ μετρίου ὡς τέκνα ὑπέσαινεν, ὃ πάσχουσιν οἱ πολλοὶ τυφλώττοντες ἀτεχνῶς καὶ κατὰ τὰς πιθηκίδας ὑπερφιλοῦντες τὰ ἔγγονα, ὡς καὶ πιθήκους ὄντας ἀγάλματα νομίζειν καὶ ἡδέως ὑπαγκαλίζεσθαι. ἀνέμενον δὲ καὶ ἡλικίαν τελεωτέραν καὶ τύχην εὐγνώμονα, ἵν᾽ ἐπιδειξαίμην ἐν καιρῷ τὸ γόνιμον· οὐκ ὡς ἀπειρόκαλος εἰς θέατρα καταβαίνων, ἀλλ᾽ ὡς αὐτὸ τοῦτο καλούμενος ἢ ῥητόρων ἔργα μετιὼν ἢ διδασκαλικοὺς πόνους ἐπιφορτισθείς, ἐν οἷς ἅπαν εὐάφορμον τὸ φιλότιμον. διὰ ταῦτα παρεώρων τοὺς ἐμοὺς πόνους ὅποι καὶ τύχῃ παρερριμμένους, καὶ οὐκ ἐτιμώμην πολλοῦ, φιλοκαλῶν ἄλλως ἢ καὶ εἰς πυξίδας συνάπτων· ὅθεν καὶ θριπηδοῦσθαι συνέβαινε τὰ πλείω καὶ τέλεον ὑπ᾽ ἀχρηστίας διεφθορέναι. ἔστιν ἃ καὶ φίλοις αἰτησαμένοις προέμενοι αὖθις οὐκ ἀπεκομισάμεθα, τὸ μὲν καὶ ὑπὸ τῆς ἡμετέρας μεθημοσύνης ἢ καὶ ἀμελείας, τὸ δ᾽ ὅτι καὶ οἱ νῦν ἄνθρωποι κρείττους λαβεῖν ἢ μεθιέναι.

9 Παρὰ τοσαύτας καὶ τοιαύτας αἰτίας βραχέα ἄττα καὶ ὡς ἐξ ἐράνου καὶ

ταῦτα καὶ ὡς ἐκ μετοικίας ἰσχύσαμεν, ἄλλων ἄλλοθεν ἀγειρόντων, εἰσοικίσασθαι πάλιν καὶ εἰς βίβλον μίαν ξυνθεῖναι, πολλῶν δή με καὶ τοῦτο ἐκλιπαρησάντων καὶ οὔτι πω ἑκόντα βιασαμένων· οἵ με καὶ ἀναινόμενον ὁρῶντες καὶ ἰσχυρογνωμονοῦντα περὶ τὴν συλλογήν, καὶ τοῦτο προισχόμενον εἰς παραίτησιν ὡς ἀτελοῦς ἡλικίας καὶ νοὸς ἔτι τὰ σοφιστικὰ μὴ πάνυ ἐξακριβοῦντος οἱ πλείους τῶν λόγων, «ἀλλὰ καὶ Ἀχιλλέως» ἔφασαν «οὐ καταγελάσονται Θερσῖται καὶ ψελλίζοντος τὰ πολέμια».

10 Τὸ μὲν οὖν πολλὰ τῶν ἐμῶν ἐκλελοιπέναι, ὅθεν καὶ ὅπως, ἱκανῶς εἴρηται· τὸ δὲ καὶ χρόνῳ προήκοντα καὶ εἰς τὸ τῆς διδασκαλικῆς ἀξίας ὕψος ἀναβάντα, μὴ καὶ ὡς ἀηδόνα λειμῶνος μεγάλου τῆς ἐκκλησίας δραξάμενον, πλείω τερετίσαι καὶ γενέσθαι λαλίστερον, τοῦτο δὲ καὶ λέξων ἔρχομαι. πολύς μοι ὁ τοῦ φθόνου δαίμων ἐπέχραε καὶ πάντα ἦν πολέμια· εἰς κάλλος ἀπέξεσα τὴν φωνὴν καὶ λαμπρὸν ἐδημηγόρουν, καὶ τὸ πλῆθος ἐπέρρει ὡς αἱ μυῖαι περὶ τὸ γλάγος, καὶ τὸ βῆμα ἐκύμαινε καὶ ὁ τῆς ἐκκλησίας πολιτάρχης ἠγρίαινεν, ὡς εἴ τις Κριτίας ἢ καὶ Ἱππίας τοὺς Ἀθηναίους ὁρῶν τῶν τινας ῥητόρων περιστοιχίζοντας καὶ δεδιὼς τὴν ἐπίθεσιν. μακροτέρας ἐποιούμην τὰς διαλέξεις· ἀλλὰ καὶ οὕτω θηρίον ἐκεῖνος ἦν καὶ ὑπεβρυχᾶτο λεόντειον, ὥσπερ εἰ πρὸς τὸ τοῦ λόγου μῆκος ἀπέκναιεν, ὀξυπείνης ὢν καὶ προτένθης, οὐκ ἐξὸν αὐτῷ κελεῦσαι τοῖς τραπεζοποιοῖς κανηφορῆσαι καὶ διασκευάσαι τὸ δεῖπνον, ὁπότε ἡ γαστὴρ κελεύσειεν, ἢ καταδαρθέντι μετὰ τὰς παροψίδας καὶ τοὺς κρατῆρας ὁπόσον καὶ βούλοιτο σπάσαι τοῦ κώματος.

11 Εἰς ἦθος ὁ λόγος ἐνεῖτο καὶ κακίαν ἐκόλαζεν ὁποῖα πολλὰ τῆς γραφῆς· καὶ ἦν ἐκεῖνος πάλιν καχύποπτος, εἰς ἑαυτὸν ἕλκων ὡς αἱ σικύαι | τὰ 526v] χείριστα. διήειν ποτὲ τὴν Παύλου ποιμαντικὴν καὶ ὑπεζωγράφουν τῷ λόγῳ τῶν πρὸς Τιμόθεον ἐκεῖνο τὸ ʽνῆφε ἐν πᾶσιν᾽ ἱεροφαντῶν, καὶ οὐδὲ ταῦτα ἡδέως ἤκουσεν, ἀλλὰ καὶ πάλιν ἐπισυνῆγεν ἡμῖν βαρὺ τὸ ἐπισκύνιον τοξοποιῶν τὰς ὀφρῦς καὶ μηνιῶν ἀκάθεκτα. τὸν γὰρ τοῦ Παύλου ἔπαινον σαρκασμὸν οἰκεῖον ἡγεῖτο, καὶ τὰ τῆς ἀρετῆς ἐδυσχέραινε κρόταλα. καὶ τέλος καὶ βιβλίον δοὺς ἐπίτομον φέρον τῶν Παύλου ἐπιστολῶν τὴν ἐξήγησιν, ὃ καὶ πρὸς γυναῖκα βραχύπονον καὶ ὀλιγόνουν τὰ θεῖα (καὶ τί γὰρ ἢ γυναῖκα τρυφῶσαν καὶ βασιλίδα τῶν τινα παλαιοτέρων ἐθώπευσεν, ὡς

Καρνεάδης ὁ Ἀθηναῖος πάλαι τὴν Κλεοπάτραν ὑπῄει;), τοῦτό με φέροντα μεγάλης καὶ ἀποστολικῆς διανοίας μικρὸν ἐγχειρίδιον ἠξίου τὴν γλῶσσαν ἐπὶ τοσοῦτον ἀποστενοῦν καὶ ὑποθλίβειν, ὁπόσον ἂν κἀκεῖνος ὑπεβαττάρισε, καὶ μηδὲ τὴν λέξιν ὑπαλλάττειν μηδ᾿ ὁτιοῦν. τοῦτο δὲ καὶ παῖς ἂν εἰς γραμματιστοῦ φοιτῶν πάντως αὐχήσειεν. οὕτω με τῆς φιλοτίμου προθέσεως ἁπανταχόθεν ἐκεῖνος ἐξέκρουσεν, οὕτω σοφιστικὴν ῥώμην πλουτοῦντα παντελῶς ἐξενεύρισεν. ἐπεὶ δὲ ῥήτωρ ὢν ἐγὼ οὐκ ἔμελλον ἐξαγροικισθῆναι πάντῃ καὶ κληθῆναι 'Μαμμάκυθος', ὡς ἐκεῖνος ἠβούλετο, τοῦτο μὲν ὡς πλατὺν γέλων οὐδὲ τὴν πρώτην ἀκοὴν ἤνεγκα, ἑτέραν δὲ καὶ ταύτην ἄβατον τοῖς πολλοῖς ἐτραπόμην· ἐποιούμην τὸ ἀπὸ τοῦδε τὰς ὁμιλίας ἐξ ὑπογύου ῥέων καὶ πνέων σχέδια· λόγος δὲ σχέδιος εἰς τὸ μέλλον ἀταμίευτος, ἴσα καὶ ῥοῦς ὀξέως φερόμενος, μνήμαις καὶ γραφαῖς ἁπάσαις ἄληπτος.

Ταῦτα μὲν οὖν τοιαῦτα καὶ οὕτως ἔχοντα. λοιπὸν τὴν ἰδέαν προσθεῖναι 12
καὶ τὸν χαρακτῆρα ὑποτυπώσασθαι. οἱ λόγοι εὐρρυθμοῦσι μὲν καὶ κρότου ἀντιποιοῦνται· οὐ μὴν καὶ ἠχοῦς αὐτοῖς τοσοῦτον μέτεστι. καὶ ὁ ῥυθμὸς ὑπορχεῖται μέν, εἰ καὶ σωφρόνως ἔν γε τοῖς πλείοσιν, ἐν ἐνίοις δὲ καὶ κυβιστᾷ· ὡς ἡ λέξις εὔσημος παρὰ πᾶσι καὶ τὸ τῆς σαφηνείας ὑπαυγάζουσα φῶς, ἐκπέφευγε δὲ καὶ τὸ κοινὸν καὶ ὡς ἐν τριόδῳ περιημαξευμένον· τριοδῖτις γὰρ λέξις καὶ καταπεπατημένη ἀπαιδευσίαν κατηγορεῖ καὶ ἰδιωτισμὸν ῥήτορος. οὐ μὴν καὶ ὄγκου διὰ τὸ σαφὲς καὶ μεγέθους ἀμοιρεῖ, ἀλλ᾿ ἔστιν οὗ καὶ θεατρική τίς ἐστι καὶ πεποίηται. ἀπόζει δὲ καὶ ἡδύ τι ὡς ἐκ λειμῶνος, ἀριστεύει δὲ μάλιστα περὶ τὰς τροπάς, καὶ ὅτε δριμεῖα γίνεται τότε γλυκίων φαίνεται. τὸ δ᾿ ἐξ ἐράνου καὶ συμπεφορημένον ἀποστυγεῖ· βούλεται γὰρ αὐτόθεν συναναφύεσθαι τοῖς πράγμασιν, ἵνα καὶ τὸ σημαντικὸν ξυγγενὲς ἔχῃ καὶ οὐκ ἐπείσακτον καὶ τὸ διάκενον ἀποφεύγῃ. τὸ γὰρ ὀθνεῖον καὶ τεταμιευμένον τῶν λέξεων ὄγκον μὲν ἢ καλλιρρημοσύνην εὐτυχεῖ διὰ τὸ ἐπιλέγδην καὶ κατὰ σχολὴν ἀπανθίζεσθαι, πένεται δὲ τὰς ἐννοίας καὶ διάκενον ψόφον ἀποτελεῖ καὶ περικτυπεῖ τὰς ἀκοὰς μόνον,
527] μήτε πᾶσι νοήμασιν ἐφαρμόττον καὶ τῶν πλειόνων | ἀποστατοῦν. οὐ γάρ, ᾗ τὸ πρᾶγμα καὶ ὁ νοῦς βούλεται, καὶ ἡ λέξις ἕπεται, ἀλλ᾿ ἐκτὸς καὶ πόρρω τυμπανίζει καὶ ὑπαυλεῖ καὶ περιέλκει μᾶλλον τὴν ἔννοιαν ἢ ἅμαξα τὸν βοῦν, παροιμιάσαιτ᾿ ἄν τις εὐστόχως. τὰ σχήματα ἔστιν οὗ ξενίζουσι· τὸ δὲ πάντῃ ἐξηλλαγμένον καὶ Ἀττικόν, ὑπέρφευ ἢ καὶ ἄλλως καινότροπον,

ὡς ἀκοαῖς πολέμιον ἀποσείεται· ἀλλ᾽ εἴ τί που μετὰ τοῦ κομψοῦ καὶ ἡδονὴν ἔχει, τοῦτο ἐπιτηδεύει. παρισώσεις οὖν καὶ παρηχήσεις καὶ τὸν ἄλλον περίαπτον κόσμον ὑπερφιλεῖ μὲν ὁ ἡμέτερος χαρακτήρ· ἀποκρύπτεται δὲ τὰ πολλά, κἂν ἐκ ταὐτομάτου ἐκεῖνα ἐπίῃ, δεδοικὼς μὴ καὶ παιδευτικώτερον ὡραΐζεθαι δόξειεν. ἔστι καὶ ἱστορίας εὑρεῖν παρ᾽ αὐτῷ, καὶ παροιμιάζεται πολλαχοῦ, ἀλλ᾽ οὐκ ἐπὶ τοσοῦτον οὐδ᾽ ἱστορικώτερον, ἀλλὰ λογικώτερον· τὸ μὲν γὰρ ὑπτιασμὸν δυστυχεῖ, τὸ δ᾽ ἀτεχνίαν νοσεῖ καὶ εἰς ἀσάφειαν ἐκτραχηλίζει, κἂν δελεάζῃ τῷ πυκνῷ καὶ τῷ πολυμαθείας εὖ ἔχειν δοκεῖν ὑποσαίνῃ. ἅπτεται καὶ τῆς ἠθικῆς φιλοσοφίας ἐνιαχοῦ, παρακεντρίζει καί τινας τῶν ὑψηλοτέρων ἐννοιῶν, ὡς καὶ αὐτῶν ψαύειν ἀστέρων καὶ οὐρανοῦ φύσεως, ἤδη δὲ καὶ εἰς τὸν τοῦ παντὸς δημιουργὸν ἄνεισιν, ἀποσεμνύνων τὸν εὐφημούμενον καὶ ὡς εἰκὸς ἀγάμενος· ταῦτα δὲ εἰ καὶ μὴ τῆς πρώτης καὶ ἀμίκτου, τέως δ᾽ οὖν σεμνότητος.

**13** Ταῦτα κοινὰ πλουτοῦσι πάντες οἱ λόγοι. ὡς ἐκεῖνα ὑπαλλάττουσιν, ὁ ἐπὶ τῷ νομοφύλακι Σοφιστὴς δικαίως ἂν μᾶλλον καλοῖτο· φαντασίαν τε γὰρ μᾶλλον ἐμποιεῖ, καὶ θαμὰ προανακρούεται ὡς οἱ τῶν ᾠδικῶν εὐφωνότεροι σκαίρει τε πλέον ἢ βέβηκεν. ὁ δ᾽ ἐπὶ τούτῳ καὶ δεύτερος εὐπαγέστερά τε τὰ μέλη εὐτυχεῖ καὶ ὑψηγορίαν μᾶλλον ἐπιτηδεύει. ὡς ὅ γε τρίτος γαῦρός ἐστι καὶ ἀγέρωχος 'ἵππος εἰς πεδίον' κροαίνων, παροιμιασαίμην ἂν εὐκαίρως, καὶ ὑπερίπταται τοὺς πρὸ αὐτοῦ· μιμεῖται γὰρ τὴν ὑπερβεβλημένην ὕλην καὶ τηρεῖ τὸ ὑπερέχον λαμυρός τέ ἐστιν ὅτι μάλιστα καὶ πολλαῖς καὶ ἀλλεπαλλήλοις ταῖς λέξεσι καὶ πάσαις ἥδιστον ἀνθούσαις ἀνθοβολεῖ τὸν βασιλέα τῆς βαρβάρου καταδραμόντα καὶ εἰς τὴν οἰκείαν ἄρτι μετὰ τροπαίων ἐλάσαντα. ὡς ὅ γε μετ᾽ αὐτόν, βασιλικὸς μὲν καὶ αὐτὸς καὶ τοῖς αὐτοῖς τροπαίοις ἐπιγαυριῶν, ἀλλ᾽ ἔοικεν ὡς παῖς μητρὶ τῷ μεγάλῳ παρασκαίρειν βασιλικῷ· νεοτελὴς γάρ τις τὰ σοφιστικὰ καὶ ὑποψελλίζων ἔτι τοῦτον τῆς ἐμῆς γλώττης ἐδρέψατο καὶ ἦν ἀνάγκη πᾶσα τὸν λόγον παραμετρεῖσθαι τῷ ῥήτορι. ὁ δ᾽ ἐπὶ τῷ Μουζάλωνι λόγος — νέῳ μέν τινι καὶ ὑπὸ διδασκάλους ἔτι τελοῦντι καὶ τοῦτον ἐχρήσαμεν· ἀλλ᾽ εἴ πού τις μικρά τινα ὑπεξέλοι προσχήματα καὶ δέλεαρ καὶ περίκρυψιν καὶ ἀπάτην ὑφ᾽ ἡμῶν τεθειμένα, ἵν᾽ ὡς ἔτι παῖς καὶ λόγου σοφιστικοῦ πρωτοκύμων μὴ καὶ ὀθνείᾳ δόξῃ τῇ γλώττῃ φθέγγεσθαι ἶσα καὶ αὐλὸς ἐμπνεόμενος, γνοίη ἂν οἶμαι τοῦτον καὶ ὑπερφωνοῦντα τοὺς ἄλλους καὶ τοῦ τεχνικοῦ τύπου μάλιστα ἐξεχόμενον. εἰς ἐπιστήμην καὶ ὁ ἐπὶ τῷ μεγάλῳ δομεστίκῳ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/16 UNIVERSITÄT LEIPZIG

527v] λόγος ἠκρίβωται, οὐ νεωτερίζων | τὴν φράσιν, ἀλλ᾽ οὐδὲ πρὸς τὸ ἀηδὲς καὶ σκληρὸν ἐξανδρούμενος. τοιαύτας ἂν ἴδοι τις καὶ τὰς Μονῳδίας ἁπάσας καὶ τούτων μάλιστα τὴν τελευταίαν καὶ ἡμῖν ἀπευκταιοτάτην, ἐπεὶ καὶ τελεωτέρας ἡλικίας γέννημα ὡς αὖθις καὶ τῶν μελετηρῶν ὑποθέσεων. τοῦ πολιτικοῦ τύπου προὔχοι ἂν ἡ κατὰ Βαγώα μελέτη καὶ νοήμασι καὶ ὀνόμασι καὶ τῇ ἐπὶ πᾶσιν ἀκριβείᾳ· ὑστάτας γάρ μοι καὶ αὕτη τὰς τοῦ νοὸς ὠδῖνας ἔλυσεν.

Οὐδὲ τὰ τῆς σοφιστικῆς γυμνάδος παλαίστρας προνοήματα τῆς αὐτῆς 14 ἰσχύος καὶ τέχνης ἅπαντα, ὅτι μηδὲ τῆς αὐτῆς ἡλικίας. οἱ τῶν λόγων Ἱεροὶ τοῦδε τοῦ λόγου ὑπεξῃρήσθων, ὅτι καὶ σοφοὶ μᾶλλον καὶ ἐπιστήμονες, ὅπου καὶ ἰδίᾳ τούτους προδιεγράψαμεν, γοργῶς καὶ ὡς ἐν τύπῳ φιλοτεχνήσαντες, ἐξ ὧν οὐ δυσχερῶς ἄν τις φωράσειε καὶ τοὺς Ἐξηγηματικούς, ὅπως ἄρα εὐπροσωπίας ἔχουσιν.

Ὁ μέντοι Ὀρθολέκτης ἐξεπονήθη μοι βιβλίον ἕτερον, μεγέθει μὲν τοῦ 15 παρόντος ἀποδέων πολυμαθείας δὲ καὶ μάλιστα εὖ ἥκων· ὁ δὲ πλουτεῖ μὲν τὸ τῆς γλώττης εὔστροφον καὶ ἄμαχον εἰς πειθώ, οὐ μὴν καὶ ψευδολεσχεῖν ἐθέλει καὶ σοφίζεσθαι τἀληθῆ· τῆς γὰρ προγόνου σοφίας καὶ παλαιγενοῦς ἀρύεται πάντα. κοινωσόμεθα δὲ καὶ τοῦτο πάντως, εἴ γε μὴ τοὺς ὑπομνηματισμοὺς ἔλαχεν ἀπολέσας ὁ τῶν ἐμῶν προτένθης δαιτυμών, καὶ διὰ ταῦτα οὐκ ἀνειμένων τὸ ξύσσιτον· ἢ καὶ ἡμᾶς ἀποστερήσει τῶν οἰκείων ἅτε τοῖς ἄλλοις βασκαίνων τῆς μετοχῆς. τοιοῦτον γὰρ πᾶς ἐραστὴς παρακατέχει τὸ φιλούμενον καὶ μόνος τοῦ ἔρωτος εἰς κόρον ἀπολαύει.

## B. ORATIONES

### 1. IN ALEXIVM ARISTENVM

Virorum amplissimorum laudatio eo magis temeraria quo magis necessaria; argumentum enim maius quam pro oratoris viribus: nihilominus laudator rem attingere audebit, hoc pro certo habens, opus suum, utpote solis imaginem, venustate quadam ac nitore fulgere posse. ab exordio, ut mos, ad urbis patriae laudes transitur, C.polis, quae caeli temperatione, agrorum ubertate, piscoso mari, felici situ, rebus ac memoria quam Romanae gloriosioribus reliquas superat urbes. Aristenorum gens non minus quam urbs egregia, quae ex verbo, quod est *ἄριστος*, nomen ducit quaeque pro meritis suis imperatoris gratiam sibi conciliavit. de Alexii in studiis curriculo iam disseritur: eum grammatistam, grammaticum, rhetoricum ex ordine audisse, philosophiam deinde atque iura didicisse. insigniter a doctrina instructus, moribus atque indole probis sanctisque ornatus, Alexius ad rem publicam aggressus est cursumque suum transcurrit, inter oratores, viros civilis, iuris consultos primas agens, inclitis antiquorum viris, ut fuerunt Aristides vel Themistocles Athenienses, minime cedens. ad trinas denique potestates, scilicet *πρωτεκδίκου, νομοφύλακος, ὀρφανοτρόφου*, quibus Alexius tunc fungebatur, adluditur necnon, ut quidem videtur, ad Ioannem Comnenum imperatorem res in Cilicia et Syria annis 1137–1138 gerentem, ex quo colligi potest orationem a Basilaca circa illa tempora conscriptam esse.

*Τοῦ Βασιλάκη κῦρ Νικηφόρου λόγος εἰς τὸν πρωτέκδικον* S 403v]
*καὶ νομοφύλακα καὶ ὀρφανοτρόφον κῦρ Ἀλέξιον τὸν Ἀριστηνόν*

1 *Ἐδόκει ποτὲ τῷ μύθῳ, ὁ δὲ μῦθος Ἑλλήνιος, ἐπεὶ καὶ περιττοὶ μυθολογεῖν Ἕλληνες (ἀλλά με μηδεὶς μυθολόγον οἰέσθω καὶ τὰ τοιαῦτα μειρακευόμενον· ἐξ ἑτέρων γὰρ ἕτερα περανοῦμαι καὶ τὸ μυθῶδες εἰς ἀλήθειαν μεθαρμόσομαι), ἐδόκει δὴ οὖν καὶ δέρας χρυσοῦν ἀνεπλάττετο καὶ τὸ δέρας αὐτῷ τῷ μύθῳ πρὸς Κόλχους μετήγετο. ἐντεῦθεν Πελίας μὲν ἐπέταττεν, Ἰάσων δὲ ἤθλευε καὶ ἡ Ἑλλὰς ἐκεκίνητο, μᾶλλον δὲ τῆς Ἑλλάδος ἅπαν ὅσον τὸ κράτιστον. παρῆν ὁ Πηλεὺς οὐκ ἀπῆν Τελαμών, εἴχετο τοῦ πλοῦ καὶ ὁ ʽκαλλίνικοςʼ ἥρως καὶ σύμπλους ἦν ἅπας ἡρώων κατάλογος. ἀλλ᾽ εἰ μὴ καὶ ὁ τῆς Καλλιόπης Ὀρφεὺς ξυνέσται καὶ καταθέλξει τὴν θάλασσαν ταῖς ᾠδαῖς (εἰς τοσοῦτον γὰρ μουσικῆς αὐτὸν ἦγεν ἡ ποίησις), οὐκ ἂν ἄλλως οἱ θεῶν παῖδες ἔφασαν· «ἀκύμαντος ὁ πλοῦς ἡμῖν ἔσται καὶ ἄκλυστος».*

*καὶ δὴ μετὰ τοῦ μύθου καὶ τῆς κιθάρας παρῆν καὶ Ὀρφεὺς καὶ ἅμα τε ᾖδεν ἐκεῖνος καὶ ἡ θάλασσα κατεστόρεστο. ἐκείνοις μὲν οὖν, ὡς ὅ τε μῦθος ἐβούλετο καὶ Ὀρφεὺς ἐδίδου, τῷ περιόντι τῆς τέχνης εὖ μάλα καὶ ξὺν ἡδονῇ τό τε πέλαγος διεπεραιοῦτο καὶ ὁ ἆθλος ἠνύετο.*

*Ἐγὼ δὲ νῦν (οὐδὲ γὰρ μῦθος ταῦτα καὶ ποίησις) οὕτω μὲν τῷ* 2
*ὄντι μέγαν ἐπανῃρημένος τὸν ἄεθλον, οὕτω δὲ γενναίαν ἐνστησάμενος τὴν ὑπόθεσιν καὶ πανταχόθεν τοῖς τῶν ἔργων καλοῖς πελαγίζουσαν, Ὀρφέα μὲν οὐκ ἂν ἐπικαλεσαίμην, ἀλλ᾽ οὐδ᾽ αὐτὴν Καλλιόπην, ἣ καὶ τὴν Ὀρφέως μοῦσαν ἐθρέψατο, οὐδὲ τὸ λοιπὸν τῶν Μουσῶν φῦλον, ἄρτι ποθὲν ἐξ Ἑλικῶνος ἢ Πιερίας ἐπιπτάσας, ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύξομαι καὶ τῆς νῦν σπουδῆς ὡς οἷόν τε καὶ τοῦ παρόντος ἀγῶνος συνάρασθαι· ἀλλ᾽ οὐδὲ δέκα μὲν στόματα δέκα δὲ γλώσσας, ταῦτα δὴ τὰ τοῦ πρώτου ποιητοῦ, τερατεύσομαι. μίαν μέντοι γλῶσσαν εἰ οἷόν τ᾽ ἦν προσλαβεῖν, ἢ Δαιδάλου τέχναισιν ἢ θεοῦ τινος, τοῦτο δὲ μάλα ἐπευξαίμην ἂν ἔγωγε, καὶ τὸ πολὺ τῶν σῶν ἀρετῶν πέλαγος καὶ τὰς ἄλλας ἀλλαχόθεν ἐπικυματιζούσας τῶν ὑποθέσεων ἀφορμὰς διισχυρισαίμην ἂν οὐρίῳ καὶ γαληνῷ τῷ πλῷ, θᾶττον ἢ λόγος, πτερύξασθαι.*

404] *Τίνα δὴ ταύτην λέγω τὴν γλῶτταν οὕτω μεγάλα δυναμένην καὶ | πλου-* 3
*τοῦσαν ταῖς χάρισι καὶ ὡσεὶ μέλι τοὺς λόγους ἐναποστάζουσαν; αὐτὴν λέγω τὴν σὴν γλῶτταν, ὦ θεοτίμητε, ἣν ῥητορικὴ μὲν ἐστόμωσε φιλοσοφία δὲ ἀπεσέμνυνε τὸ δὲ τῆς ἀρετῆς συνανύψωσε μέγεθος· οὕτω σοι δὴ τὰ ἔργα τῆς γλώττης οὐκ ἀποδέοντα καὶ ἡ γλῶττα τοῖς ἔργοις ἐφάμιλλος, οὕτω σὺ καὶ τὴν γνώμην φιλεργεῖν τὸ δέον εὔπορος καὶ τὴν γλῶτταν λέγειν οὐκ ἄπορος.*

*Εἰ μὲν οὖν ἐφεῖτό τινι λέγειν, ἐφ᾽ οἷς εἶχέ τι θαύματος, καί τις ἔκειτο* 4
*νόμος τοῖς ἑαυτοῦ καλοῖς ἐπιρρητορεύειν ἕκαστον, εὐθὺς ἂν ἐγώ τε τῆς ὁρμῆς ἐπέσχον καί σε τοῖς σοῖς ἐφεῖναι τὴν γλῶτταν ἠξίουν ὑπὸ Πανελληνίῳ τῷ θεάτρῳ μετὰ καὶ τῶν ἔργων τοὺς λόγους ἐπιδειξόμενον. εἰ δὲ καὶ νομοθετεῖν ὡς ἐπὶ τούτοις ἐξῆν, ταχέως ἂν ἐγὼ τῶν ἄλλων προπηδήσας τοῦτον ἐπί σοι τὸν νόμον ἔγραφον. ἐπεὶ δὲ τοῦτο μὲν ὁ νόμος ἀφείλετο, ἐκεῖνο δ᾽ ἡ φύσις οὐ δίδωσιν, ἆρα καταπροήσομεν τὸ ἐγκώμιον καὶ τὸ πᾶν τῆς εὐφημίας εἰσφέρειν οὐκ ἔχοντες καὶ ὃ ἔχομεν οὐ δικαίως προσαφαιρήσομεν; ἀλλ᾽ ἐκείνως μὲν τῆς γνώμης ἐπιδειξόμεθα τὸ φιλόκαλον (καί πού τις φιλάττικος ἀνὴρ καὶ τὴν γλῶτταν τρυφῶν, εἰ καὶ τῆς περὶ τοὺς λόγους*

διαθέσεως αἰτιάσεται, ἀλλά γε τῆς περὶ τὰ καλὰ προθέσεως ἐπαινέσεται), οὕτως δὲ καὶ τὸ ἀφιλόκαλον προσαιτιάσεται καὶ τὸ ἄμουσον ὑποπτεύσεται.

5 Τί οὖν φημὶ καὶ πρός 'τί μοι ταῦτα προανακέκρουσται'; οὐκ αἰσχύνομαι λόγοις νικώμενος, οὗ τοῖς ἔργοις ἅπαντες ἥκουσι δεύτεροι· οὐ δυσανασχετῶ τὴν ἧτταν οὕτω κοινὴν οὖσαν καὶ πάνδημον· οὐκ ἀπωθοῦμαι ῥήτωρ εἶναι καλῶν ἀκουσμάτων δεύτερος, ἂν ὑπὲρ λόγον τὰ πράγματα. τί καινόν, εἰ καὶ λόγος ἀποίσεται τοὔλαττον; δέχονται μεθ' ἡμῶν οἱ λόγοι τὸ τρόπαιον, οὐκ ἄχθονται μεγάλων ἐπαινέται γιγνόμενοι λείπεσθαι. καὶ νῦν, ἐπειδὴ μήτε τὸ κοσμεῖν αὐτοῖς τὸ τῶν πραγμάτων παρέλιπε χάριεν καὶ τὸ μείζω ποιεῖν καὶ μεγεθύνειν τῇ τέχνῃ τὸ τῆς ὑποθέσεως παρείλετο μέγεθος, βούλονται μᾶλλον αὐτοὶ συνανυψοῦσθαι καὶ συνεξαίρεσθαι, καὶ κέρδος ἡγοῦνται καλοῦ σώματος νομίζεσθαι κάτοπτρον καὶ σκιὰ δοκεῖν ἡλίου τηλαυγέστερον ἀντανίσχοντος.

6 Αὐτίκα γάρ τοι τὰ τῆς πατρίδος ἀντανίσχει τῷ λόγῳ καὶ ξύμπαν ὅ τι καὶ πόλεως καλὸν ξυνεπέλαμψε καί, τυραννεῖν τῷ κάλλει τὰς ὄψεις λαχοῦσα, νῦν τυραννεῖ καὶ τοὺς λόγους. κἂν γὰρ ὑπερίδω καὶ μικρόν τι μύσω τῷ λόγῳ, παραδραμεῖν ἐθελήσας τὴν ὥραν, εὐθὺς ἠγρίανεν ἐπέπληξεν ἐπετίμησε. «βάσκανε καὶ καλῶν ἀνέραστε, ποῖ δέ σοι τὰ τῆς ὁρμῆς καὶ τί τοσοῦτον ἔχεις εἰπεῖν, ὃ μὴ μακρῷ τῶν ἐμῶν ἀπολείπεται; παρόψει δέ με καὶ παραδράμῃς ἀγέραστον, ἧς τὸ κάλλος ἀξιοθέατον καὶ τὸ γέρας τῶν ἄλλων πάντων μακρῷ γεραρώτερον κρατιστεύειν ἐν πόλεσι καὶ βασιλεύειν ἐν ἔθνεσι; τὰ δὲ τῶν Μουσῶν ἄνθη πόθεν αὐτὸς ἔχεις δρεψάμενος; τὸ δὲ σοφιστεύειν καὶ πλέκειν ἐγκώμια καὶ τῇ γλώττῃ ἀποσεμνύνειν καὶ περιξέειν ὀνόματα, πόθεν σοι ταῦτα; οὐκ ἐμὸν τὸ καλόν, οὐκ ἔγωγε τοὺς λόγους καὶ ἔθρεψα καὶ ἐπαίδευσα, αὐτὸς δ' ὁ καὶ τοῦ λόγου τὴν ὥραν σοι προβαλλόμενος; οὐκ ἐμὸς ὁ κλάδος, οὐκ ἐμὸν τὸ φυτόν; οὐκ ἐξ ἐμοῦ τὴν ὀπώραν μετὰ καὶ τῆς ἄνθης ἀνέβλαστεν; ἐμός ἐστιν ὁ βλαστός, ἐμὸν καὶ τὸ σεμνολόγημα. ἂν τὴν θρεψαμένην παραδράμῃς, τὸ φυτὸν οὐκ ἐθαύμασας· | [404v] ἂν τὸ φυτὸν οὐ θαυμάσῃς, τὴν ἄνθην οὐ τελέως ἐπῄνεσας· ἂν τὴν ἄνθην οὐκ ἐπαινέσῃς, τὴν ὀπώραν ἀφῆκας ἀθαύμαστον.»

7 Τοιαῦτά μοι ἐπαπειλεῖται, τοιαῦτά μοι ἐπανατείνεται ἡ καλλίπολις αὕτη πόλις καὶ μεγαλόπολις, ὁπηνίκα τὴν τοῦ λόγου ῥύμην ἀλλαχόσε μετάγοντος αἴσθηται. εἰ δὲ καὶ πρὸς ταύτην καὶ τὸ ταύτης κάλλος ἀπονεύσω τοὺς ὀφθαλμούς, τότε δὴ τότε καὶ τὸ βλέπειν ἀφῄρημαι καὶ πάσχω τι πάθος καινόν, καὶ λέγειν οὐκ ἔχων καὶ σιγᾶν οὐ βουλόμενος. χαριστέον οὖν καὶ νόμοις ῥητόρων ἑπομένους καὶ πατρίδι πειθομένους τὸν ἔπαινον· καὶ δια-

λυτέον εὐμηχάνως τὸ ἄπορον, ὡς μήτε τὰ τῆς θρεψαμένης πάντῃ παραλιπεῖν καὶ τοῖς σοῖς ἐπιβαλεῖν τελεώτερον, ἵν᾽ ἔχοιτε τοῖς ἀλλήλων ἐγκαλλωπίζεσθαι.

8 Ἡ γάρ σου πατρίς, ὦ καὶ γένος καὶ τρόπον καὶ πάντα πάντων κάλλιστε, εὖ μὲν τῇ ὥρᾳ κέκραται, ὡς μήτε τὸ τῶν Ὑπερβορέων καὶ Ταύρων ἔχεις δυσχείμερον μήτε τῆς Αἰγύπτου τὸ ἄνομβρον, ἀλλ᾽ ἐκείνων μὲν τὸ πάντῃ χείμερον καὶ τὸ τῆς ὥρας ἀγριαῖνον ἐκπέφευγε, ταύτης δὲ τὸ περιπνιγὲς καὶ οἷον ἆσθμα λοχεύειν πυρὸς οὐκ ἐδέξατο, ἀλλ᾽ ἔχει Ταύρων μὲν ἀνεφελώτερον, Αἰγύπτου δὲ ὀμβριμώτερον· τοὺς μέντοι καρποὺς τοσούτους ὥρας ἡκούσης ἐκυοφόρησεν, ὡς μηδ᾽ ὑπολιπέσθαι μηδένα νομίζειν καρπὸν ἑτέρωθι πόλεως· γεωργεῖ δὲ οὐ μόνον ὅσα ὧραι φύουσι καὶ ἄρουραι καλλίβωλοι φέρουσιν, ἀλλά που καὶ διαποντίων καλῶν ἔγευσε καὶ διπλοῦν τοῖς ἐποικοῦσιν ἐπισκευάζει τὸ εὔδαιμον, τοῖς μὲν ἀπὸ θαλάττης πλέον τι τῶν ἐν ἠπείρῳ διδοῦσα τὸ φιλοτίμημα, τοῖς δ᾽ ἀπὸ γῆς εὐδαιμονέστερον ἔχειν τῶν ἐπὶ θαλάττης παρασκευάζουσα. καὶ γὰρ οὕτω θέσεως εἴληχεν ὡς ὀμφαλὸς ἐν ἀσπίδι ὡς ἐν κύκλῳ τὸ μεσαίτατον· τὰ μὲν ἔνθεν Εὐρώπη παρατέταται, τὰ δ᾽ ἐκεῖθεν Ἀσία τῷ πελάγει συνέζευκται· ἡ δ᾽ ἐν μέσῳ λαμπρὰ λαμπρὸν ὑπαυγάζουσα, καλλίστη μὲν ἰδεῖν μεγίστη δέ, ὡς θαυμάσαι, ἀστέρι ὀπωρινῷ ἐναλίγκιος. εἴποις ἂν ὡς ἐρῶσιν αὐτῆς γῆ τε καὶ θάλασσα. καὶ ἤπειρος μὲν εἰς ἑαυτὴν ἐφέλκεται καὶ μόνης αὐτῆς εἶναι φιλονεικεῖ καὶ πᾶσαν εἰς ἤπειρον μετασκευάζειν ἐπείγεται· ἀλλ᾽ ἐκεῖθεν ἀντερᾷ τοῦ κάλλους ἡ θάλασσα καὶ τὸν ἀντέρωτα δείκνυσιν, οἷς θερμότερον τὴν ἐρωμένην ἐναγκαλίζεται. καὶ προσάγουσιν ἄμφω νόμοις ἐραστῶν δῶρα, γῆ μὲν ὅσα γηπόνων φιλοτεχνήματα θάλαττα δὲ ὅσα ἐπὶ κύμασι φύεται· ἡ δὲ οὔτε τῆς θαλάττης ἀφίσταται καὶ τὴν ἤπειρον περιπτύσσεται, καὶ ὡς οἷα μήτηρ φιλόπαις ὑπὸ πλουσίῳ τῷ μαστῷ παῖδας εὐγενεῖς γαλουχεῖ τοὺς οἰκήτορας· ὑπὲρ τοὺς Ἀλκινόου κήπους καὶ τὴν ἐπιβλαστάνουσαν ὀπώραν ἐκείνην τῆς Μεγαλοπόλεως τὰ κηπεύματα, ὑπὲρ τὴν Φαιάκων τρυφὴν καὶ τὰς ἐκείνων πανδήμους θαλίας τοῖς Κωνσταντινουπολίταις αἱ τράπεζαι, ὑπὲρ τὴν Λωτοφάγων εὐδαιμονίαν τοῖς Μεγαλοπολίταις τὸ εὔμοιρον.

9 Σὺ δέ μοι ὁ Ῥωμαῖος ὁ ἐξ Αἰνείου τὸ γένος αὐχῶν ὁ δεινὸς ὁ μέγας ὁ σοβαρὸς ὁ τὰς ὀφρῦς ἀνεσπακώς, ἀντιδιήγησαί μοι τὰ σὰ καὶ τὰ τῆς ἤδη γεγηρακυίας Ῥώμης ἐναποσέμνυνε τῷ διηγήματι, καὶ λέγε μοι τὸν

λόφον τὸν Καπιτώλιον καὶ τερατεύου τὸν οἰωνὸν ἐκεῖνον | τὸν αἴσιον, τὴν 405] τῆς κεφαλῆς ὑπὸ τοῖς βάθροις ἀνάδοσιν καὶ τοῦ Τυ⟨ρ⟩ρηνοῦ τὴν ἐπὶ τούτοις ἐπίκρισιν, ὡς ἔσται τοῦτο Ῥώμη ταῖς πόλεσιν, ὃ καὶ κεφαλὴ χρηματίζει τοῖς μέλεσι· καὶ κλῆσιν ἐπιτίθει τῷ λόφῳ τὸ ξύμβολον, ἵν᾽ εἰσαεὶ μετὰ καὶ τῆς ὀφρύος παραμενεῖ σοι τὸ μυθολόγημα.

10 Ἐγὼ δὲ Κωνσταντῖνον τὸν μέγαν Ῥωμύλῳ μὲν οὐκ ἂν παραβάλοιμι, μὴ οὕτω μαινοίμην ὡς νεανίαν τὸ πολὺ τῆς ἡλικίας μετὰ θρεμμάτων ἐνδιατρίψαντα συνεξετάζειν ἀνδρὶ τῆς αὐτῆς ἄρξαντι πόλεως, οὐχ οἵαν ἐκεῖνος μικρὰν ὑπὸ μικροῖς τοῖς ὅροις περιγράψας ἐδείματο, ἀλλ᾽ ὅσην Αὔγουστοι Καίσαρες ὑπὸ μυρίοις μυριαχόθεν τοῖς τροπαίοις ἐστήσαντο. εἰ δὲ δεῖ σοι καὶ οἰωνὸν ἄγειν ἀντίρροπον, αὐτὸν ἐκεῖνον τὸν ἁπάσης μαντικῆς πατέρα προβαλοῦμαί σοι Πύθιον, ὃς ἐς τοσοῦτον ἠγάσθη τοῦ κάλλους τὴν ἐμὴν ταύτην Ῥώμην καὶ βασιλίδα τῶν πόλεων, ὡς καὶ πήρωσιν ὀφθαλμῶν ἐπονειδίσαι τοῖς ὅσοι τὴν μέν, ὧν εἶχε καλῶν, οὐκ ἐθαύμασαν, ἀλλ᾽ ἑτέραν ἀντιπρόσωπον ἐπ᾽ οὐ καλοῖς τοῖς μέλλουσιν ἐπυργώσαντο. τοιοῦτόν σοι τὸ πατρῷον ἔδαφος, τοιαύτην ἔλαχες τὴν ἐνεγκαμένην, ἐπὶ τοιαύτης ἐτράφης τῆς πόλεως καὶ τὴν τροφὸν οὐ κατῄσχυνας, ἀλλ᾽ ὅσον ταῖς ὥραις ἐκείνη τὸ εὔκρατον, τοσοῦτον σὺ ταῖς ἀρεταῖς ἐπὶ ψυχῆς φέρεις τὸ εὔθετον.

11 Ὀργᾷ μοι καὶ προπηδᾷ τοῦ λόγου τὸ εὔδρομον καὶ τὸ τοῦ γένους θριγγίον ὑπερπηδᾶν οὐκ οἶδ᾽ ὅπως θρασύνεται. καίτοι οὐδὲ τοῦτό σοι ἔξω θαύματος, οὐδὲ γὰρ ἀπὸ σκολόπων καὶ βάτων· οὐδὲ τοῦτόν σοι τὸν θριγγὸν ἡ φύσις ἐπήξατο. ὅμως δ᾽ οὖν ὑπεράλλεται καὶ μόνου σου τοῦ λειμῶνος γλίχεται. ἐγὼ δέ – ἀλλὰ καλὸς μὲν ὁ λειμὼν καλὴ δὲ ἡ βλάστη, ποικίλη δὲ ἡ ἄνθη τερπνὴ δὲ καὶ ἡ τῶν δένδρων πανήγυρις, ἀλλ᾽ οὐδὲν ἧττον καλὸς καὶ ὁ περίβολος καί σου τοῦ λειμῶνος ἐπάξιος. ἢ τίς οὐκ οἶδε τοὺς Ἀριστηνοὺς ἐκείνους τοὺς αὐτὸ τοῦτο κληθέντας ὃ γεγόνασιν ἢ γεγενημένους ὃ προεκλήθησαν; τοὺς ὡς μὲν τὴν κλῆσιν ἀρίστους ὡς δὲ τοῖς ἔργοις οὐδὲν ἧττον ἀποφερομένους τὸ ἄριστον, ἀρίστους ὄντας τῷ ὄντι καὶ τὴν ἀριστωνυμίαν μὴ ψευδομένους καὶ μὴ μάτην φοροῦντας τοὔνομα, ὥστ᾽ εἰ καὶ μήπω τοῖς τὰ τοιαῦτα δεινοῖς ὀνοματοθετεῖν ἔκ γε τῆς φύσεως ἔδοξεν, ἀλλ᾽ οὖν ἐπ᾽ ἐκείνοις τῇ φύσει πάντως ἂν τοῦτο τὸ μέρος ἀπένειμαν.

12 Σὺ μὲν οὖν, ὦ μακάριε καὶ τὰ πάντα ἄριστε, ἐκεῖθεν ἀπὸ τῶν προγόνων ὡς οἷα κλῆρον πατρῷον συνεπεσπάσω τῇ κλήσει τὸ ἄριστον καὶ τὸ χρυσοῦν τοῦτο καὶ μυριοπόθητον ὄνομα οὐ κατεκιβδήλευσας οὐδ᾽ ὑπενόθευσας· ἀλλ᾽ αὐτοῖς ἔργοις ἔσπευσας ἐκμαθεῖν τίς τε ἡ τοῦ ὀνόματος δύναμις καὶ τί σοι τὸ ἄριστον βούλεται. καὶ νῦν γυμνὸν ταῖν χεροῖν ἔχων τὸ καλόν,

οὐδὲν δέῃ λόγων, οἳ καί σοι τὴν τοῦ καλοῦ φύσιν γνωρίσουσιν. ἐμοὶ δὲ νῦν (οὐ γάρ πώ μοι ὁ τῆς εὐδαιμονίας ἐπηύγασεν ἥλιος) δὸς ἀλλὰ τό γε δεύτερον ἐν σκιᾷ κατατρυφῆσαι τῷ λόγῳ καὶ ξυγχώρει καὶ τοῦτο τὸ φιλοτίμημα.

Οἱ γάρ τοι τὰ τοιαῦτα κομψοὶ καὶ τὴν γλῶτταν καχλάζοντες οὐ μέχρις **13** ἑνὸς ἢ καὶ δύο τὸ καλὸν τοῖς ἀνθρώποις ἐναπεμέρισαν, ἀλλὰ τὰ μὲν τῶν ἀγαθῶν τῷ σώματι περιάπτουσι, τὰ δὲ τῇ ψυχῇ κόσμον ἀφωσιωμένον 405v] ἀνα|τιθέασιν. ἔστιν ἃ καὶ ἡ Τύχη παρ᾿ ἐκείνων ἀπεκληρώσατο, ταῦτα δὴ τὰ τοῦ σώματος καὶ ὅσων ἡ Τύχη δεσπότις, ἐφ᾿ οἷς καὶ τὸ ἀτύχημα μέτριον, καὶ ⟨ἃ⟩ παρόντα ξυνεπικοσμεῖ καὶ ξυνάγει τὸ εὔδαιμον καὶ μὴ παρόντα, φαῖεν ἂν ἐκεῖνοι, καταρρυπαίνει καὶ ‛λυμαίνεται τὸ μακάριον᾿· καὶ τοσοῦτον ἀφαιρεῖ τῆς εὐδαιμονίας ὁπόσον τοῦ κάλλους περιαιρεθέντες ὁρμίσκοι καὶ περιδέραια καὶ εἴ τι ἄλλο τοῦ κόσμου περίαπτον, εἰ δὲ βούλει, τοσοῦτον ὁπόσον ἡ τῶν εἰς ναυπηγίαν ἐπιτηδείων ἔνδεια τὸν ναυπηγὸν τῆς τέχνης παρείλετο. ταῦτα μὲν οὖν τύχη τε καὶ φύσις, οἷς ἂν ἐθέλοιεν, πολλάκις ἐπιβραβεύουσι· καὶ οὔτε ὁ κτησάμενος ἤδη μακάριος οὔτ᾿ αὖθις ὁ μὴ τυχὼν ἤδη τρισάθλιος. ἃ δὲ τῇ ψυχῇ καὶ μόνῃ προσανατέθειται, ἐπὶ τούτων καὶ τὸ ἀτυχῆσαι δύσδαιμον καὶ τὸ εὐτυχῆσαι μακάριον, ὅτι καὶ ταῦτα ψυχή τις εἶναι δοκεῖ τἀγαθοῦ καὶ τῆς εὐδαιμονίας, ὡς ἄν τις εἴποι, τὸ σκοπιμώτατον. σπάνιον μὲν οὖν τὸ χρῆμα τοῦτο καὶ οὐκ οἶδα εἴ ποτέ τις τοσοῦτον γοῦν εὐδαιμόνησεν, ὡς ὁλοτελῆ τὸν κύκλον τοῦτον διαγράψαι καὶ ἄρτιον καὶ μὴ τὰς πλείους παραλιπεῖν τῶν γραμμῶν, ὡς παρὰ πολὺ πεσεῖν ἔξω τοῦ σχήματος καὶ τοῦ τῷ ὄντι μακαρίου τῆς μακαριότητος κτήματος.

Ἀλλὰ τοῦτο τὸ καλὸν τὸ μέγα τὸ σπάνιον, τὸ μηδ᾿ ἐπ᾿ ὀλίγους φοιτῆσαν **14** τῶν πώποτε, τούτοις δὴ τοῖς ἀρίστοις ἀνδράσι τοῖς σοῖς ἀρχεγόνοις ξυνεπῆλθε καὶ ξυνεκόσμησε καί, ὡς ἀπὸ μιᾶς πηγῆς τῆς ψυχῆς ἐπιβλυστάνειν ἀρξάμενον, μέχρι καὶ τῶν ἔξω δηλαδὴ τύχης καὶ σώματος ἔρρευσεν. ἐξ ἐκείνου τοῦ ῥείθρου, ἀπ᾿ ἐκείνης τῆς πηγῆς μετωχετεύθη τῇ κλήσει τὸ ἄριστον. ἥ τε γὰρ τῶν ἀρετῶν ἄνθη τὰς ψυχὰς ἐκείνοις ὡς εἰκὸς περιέστεφε καὶ ἡ Τύχη ὁπόσα εἰς εὐδαιμονίαν ὀργανικὰ συνεπιχορηγοῦσα δαψιλῶς οὐκ ἐπέλιπε. προσέτι γε μὴν καὶ ἡ φύσις φιλοκάλως τοῖς ἔξω καλοῖς περιήμπισχεν, ὡς φάσαν οἵπερ ἴδοντο καὶ ‛ὡς ἀπὸ τῆς καλάμης᾿ τὴν ἄνθην ἄν τις τεκμήραιτο. οὐδὲ γὰρ οὐδὲ μετὰ γῆρας τὴν τοῦ προσώπου ὀπώραν εἰς τέλος ἀπεμαράνθησαν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/23 UNIVERSITÄT LEIPZIG

15 *Τούτων τοῖς καλοῖς καὶ βασιλεὺς ἑάλω καὶ οὐδὲν ἧττον ἐφίλει τοὺς ἄνδρας ἢ τὸν Ἀρτάβανον Ξέρξης, εἰ δὲ βούλει, ὁ Μυκηναῖος τὸν Πύλιον. ἐκείνους μὲν οὖν ἅτε μακαρίους καὶ τῷ ὄντι εὐδαίμονας μὴ καὶ ὕβρις κατάγειν εἰς ἔπαινον· ἀνθρωπικώτερον γάρ ἐστιν τοῦτο τὸ χρῆμα καὶ μακρῷ τῆς θειότητος καὶ τῶν ἐκεῖσε ὑπεραναπτάντων χθαμαλώτερόν τε καὶ προσγειότερον. σὸν δ᾽ ἂν εἴη καὶ τοῦτο πάντως ἐγκώμιον, ὅτι σοι καὶ ὑπὲρ ἔπαινον σχεδόν ἐστι τὸ ἀρχέγονον. ἆρ᾽ οὖν τοῦτο καὶ μόνον τὸ μέρος μακάριον τἆλλα δὲ τοῦ γένους ὑποχωλάναντα πρὸς ἀρετήν, κἀντεῦθεν κεκολόβωταί σοι τὸ εὔφημον; οὐμενοῦν, ʿοὐκ ἔστι τοῦτοʾ, οὐκ ἔστι· ʿπόθεν; πολλοῦ γε καὶ δεῖʾ. ᾧ γε τὰ πατρόθεν τε καὶ μητρόθεν τῶν οὐκ ἀσήμων οὐδ᾽ ἀφανῶν ἐξεγένετο, ἀλλ᾽ οἵους εἰκὸς εἶναι τοὺς ἐξ ἀρίστων καὶ φύντας καὶ αὐξηθέντας καὶ τραφέντας ὡς ἄριστα· οἷς κἂν μήπω τι θαυμαστὸν ἡ φύσις ἐπέφυσεν, ἀλλά γε τὸ τοιῶνδε γονέων παῖδας γενέσθαι καὶ τοιοῦδε παιδὸς κληθῆναι γονεῖς, οὐ μικρὸν εἰς εὐφημίαν ἐδόκει τοῖς γε νοῦν ἔχουσιν.*

16 *Ἀλλὰ γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος, ὦ παρόντες, βούλομαί τι, καὶ πρὶν ἢ τῆς εὐφημίας ἀπάρξασθαι, προεπεισόδιον ὡς ἐν δράματι τῷ λόγῳ προανακρούσασθαι. αὐτοὶ γοῦν μοι | προαγέσθων εἰς μέσον οἱ ποιηταί,* 406] *καὶ ὥσπερ ἐξ ἀποστάσεως, κατὰ τοὺς ῥήτορας, ὡς ἐπ᾽ ἐκκλησίας ἀναφανήτωσαν. ὑμεῖς δ᾽ ὁ δῆμος ἐπικυροῦτε τὴν γνώμην καὶ τὰ δοκοῦντα ψηφίζεσθε· ʿὅταν δὲ μὴ κρηπὶς καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνουςʾ. ὡς εὖγε, ὦ ποιηταί, τοῦ ψηφίσματος. καὶ ὁ σύμπας ἤδη δῆμος ἐπηλάλαξαν εὔφημόν τι καὶ σύμφωνον· «τούτων καὶ ἡ τοῦ γένους κρηπὶς ὀρθῶς καταβέβληται καὶ τὸ δυστυχεῖν ἀπ᾽ αὐτῆς γονῆς ἀρχῆθεν τρόπον ἕτερον καταβέβληται». ξυνέθεσθε καὶ ὑμεῖς ὅσους κριτὰς καὶ γνώμονας τοῦδε τοῦ λόγου προυπεθέμεθα, καὶ ὅλαις ψήφοις τὴν νικῶσαν ἐναποφέρομαι, οὕτω σοι τὸ ἀγαθὸν ἀφ᾽ ἑστίας καὶ πάτριον. οὔπω γάρ σοι ὁ ποιητὴς ἔφθη προσεπιμαρτυρῆσαι τὸ εὔδαιμον καὶ τὸ θέατρον ἡλίκον οἷον ἐκρότησαν. ἀλλὰ γὰρ ἀνέχεσθε μικρόν, ὦ ἄνδρες, καὶ δότε μοι λέγειν ἀθορύβητα· καὶ τάχα καὶ μείζω κρότον ἐγείρωμεν. νῦν μὲν ἔγνωτε τὴν ὀπώραν ἀπὸ τοῦ φυτοῦ καὶ παραυτίκα, θάμβους καὶ ἡδονῆς τὰς καρδίας ὑποπλησθέντες, ὡς οἷόν τε τὰς φωνὰς ἐπὶ μήκιστον ὅσον ἐξάραντες ἐκροτήσατε. ὡς εἴ γε καὶ τῶν τῆς ὀπώρας καλῶν τὴν εὐφημίαν ἀποτρυγήσετε, καὶ γνοίητε τοῦ φυτοῦ τὴν ἐνθένδεν ἐπικόσμησιν (κατὰ τὸ ἀντίστροφον οὐδ᾽ ἂν οἶμαι) καὶ λέγειν ἡμῖν ἀθορύβως τοῦ λοιποῦ δοίητε.*

17 *Ἀλλὰ γὰρ αἰσθάνομαι νῦν ἐμαυτοῦ κατὰ τὸ ἀθρόον οὐκ οἶδ᾽ ὅπως ὀκλάζοντος καὶ ὡς ἐπ᾽ ἀδύτοις ὀκνῶ τὴν ἐπίβασιν. ἢ καὶ πρὸς τὸ τῶν σῶν*

ἀρετῶν ἀποδειλιῶ μέγεθος καὶ ὅλως τῆς γλώσσης ἐνίσχεταί μοι τὸ ῥόθιον; σὺ δ᾽ ἀλλ᾽, ὦ καὶ τὴν γλῶτταν εὔστροφε καὶ τὸν νοῦν περιδέξιε καὶ τοῖς πᾶσι καλοῖς ἀνυπέρβλητε, ἵλεως μέν μοι εἴης μικροῖς οὕτω λόγοις τὰ μεγάλα ταλαντεύοντι καί μοί τι καὶ τῆς σῆς Μούσης ἐνστάλαξον καὶ τὸν λόγον ὑπέρειδε καταπίπτοντα. σὺ γὰρ οὕτω μὲν προήχθης εὐτυχῶς οὕτω δὲ ἐτράφης εὐγενῶς, ὡς μήτε τὴν τροφὴν τῆς γενέσεως λείπεσθαι μήτε τῆς τροφῆς ἀπᾴδουσαν εἶναι τὴν γένεσιν. ἀλλ᾽ οἷς μὲν ἔχει τι καὶ λαμπρὸν ἡ γονή, τούτων σὺ παρὰ πολὺ τὴν ἄλλην ἀγωγὴν σεμνότερος· οἷς δὲ τὸ τῆς ἀγωγῆς ἐλευθέριον, τούτων σὺ τὴν γονὴν αὖθις λαμπρότερος. μᾶλλον δὲ νικᾷς γένους μὲν ὕψει τοὺς ἐν γένει σεμνούς, τῷ δὲ τῆς τροφῆς εὐαγώγῳ τοὺς ὅσοις τοῦτο καὶ μόνον τὸ σεμνολόγημα· ἢ καὶ δι᾽ ἀμφοτέρων ἀμφοτέρους ὑπερνικᾷς, καὶ γενόμενος εὐγενῶς καὶ τραφεὶς εὐγενέστερον.

Οἱ γάρ σε τεκόντες, ὦ θαυμάσιε, τὸ ʽχρὴ παῖδ᾽ ἔτ᾽ ἐόντα καλὰ διδάσκειν 18
ἔργα᾽ παρὰ τῆς ποιήσεως ἐδιδάχθησαν καί σε, τοῦ λόγου μικρὸν ἐπιλάμψαντος, οὔπω σχεδὸν τελέως τὴν γλῶτταν διηρθρωμένον παιδεύειν εὐθὺς ἐπεχείρουν καὶ γραμματισταῖς παρακατετίθουν, καί σοι λόγος ἦν καὶ πρὸ τοῦ λόγου τὸ σπούδασμα. ἐπεὶ δέ σοι καὶ τὴν γλῶτταν τὸ τῆς ἡλικίας τελεώτερον ἀνεκάθηρεν, ὑπὸ γραμματικοῖς ἐκπαιδεύῃ καὶ φυλοκρινεῖς τίνα μὲν τῶν ὀνομάτων Ἑλληνικά τε καὶ εὔμουσα καὶ τῆς Ἀττικῆς εὐγλωττίας ἐναποστάζοντα, τίνα δὲ καὶ τῆς βαρβάρου γλώττης δυσηχῆ τε καὶ ἄμουσα· καὶ τῶν μὲν τὸ βαρβαρῶδες ἀποσκυβαλίζεις, τῶν δ᾽ ἀντεπεισάγεις τῇ γλώττῃ τὸ εὔχαρι. | ἔπειτα μέντοι καὶ τὰ γραμματικῶν
406v] ἐκπονηθεὶς τελεώτατα, ἀνατρέχεις ἐπὶ τὴν ποίησιν καὶ τὸν τῆς Καλλιόπης λειμῶνα περιίπτασαι τάχιον, κἀκεῖθεν ἀποκερδαίνεις τὸ μεγαλήγορόν τε καὶ εὔρυθμον καὶ δίκην μελίττης ἐπισυλλέγεις τῆς ποιητικῆς ἄνθης τὸ χρήσιμον ὁπόσον ἐς τὰ μέτρα φέρει τι χάριτος. ἐντεῦθεν Ὑμηττός σοι τὸ στόμα γίνεται καὶ μετρικοῦ σίμβλον μέλιτος, καὶ πλείους ἐφίπταντό σου τῇ γλώττῃ χάριτες ἢ τῷ τοῦ Πινδάρου στόματι μέλιτται. εἶπεν ἄν τις ἰδὼν τότε σοῦ τὴν γλῶτταν τοῖς μέτροις ἐναπορρέουσαν ἐκείνην εἶναι τὴν γλυκεῖαν τὴν θαυμαστὴν τὴν ἑπτάκρουνον Καλλιρρόην τοῦ Πλάτωνος· ἀλλ᾽ εἶχέ τί σοι καὶ πλέον ἡ γλῶττα τῆς πηγῆς ἐκείνης ἐπικρουνίζουσα, καὶ πηγή τις ἦν Μουσῶν ἐννεάκρουνος. ὡς δὲ καὶ τὰ τῆς Καλλιόπης κόρον εἶχέ σοι παιδικά, ἐπὶ τὸν Ἑρμῆν καὶ τὴν ἐκείνου παλαίστραν ἐπαποδύῃ καὶ τοῦ θεοῦ τὸ λόγιον εὐθὺς ὑφαρπάζεις, καὶ γίνῃ μετ᾽ οὐ μακρὸν διαχυτι-

*κώτερος μὲν Ὀρτησίου διδακτικώτερος δὲ Καλλιβίου, σικινίσαι δὲ ⟨δεινὸς⟩ καὶ ὑπὲρ τὸν παλαιὸν ἐκεῖνον Κικέρωνα, ὃν ἐς τοσοῦτον ῥητορικῆς τὰ Ῥωμαίων ἐθρύλλησεν ὁπόσον τὸν Παιανιέα Πανέλληνες.*

19 *Καὶ τί γὰρ οὐκ ἔμελλες, οὕτω φύσεως ἔχων καὶ τοιοῦτος ὤν, μαθεῖν μὲν ὀξυκίνητος ἀπομαθεῖν δὲ δυσκίνητος ἢ καὶ τὸ παράπαν ἀκίνητος; οὐ γὰρ ἅμα τε ἐπέβαλλες καὶ ἅμα ἀπέβαλλες, ὁποῖα τὰ τῶν πολλῶν, ἐφ᾽ οἷς καὶ τὴν μάθησιν οὐδὲν ἧττον ἔχει τις εἰπεῖν ἀπομάθησιν; ἀλλά τι δεῆσαν μαθεῖν, κηροῦ μὲν εἶχες τὸ εὐτύπωτον, πλακὸς δὲ τὸ πρὸς ἀπόνιψιν δυσεκτύπωτον· οὕτω σοι δευσοποιὰ τὰ μαθήματα, καὶ κατὰ καρδίας ἐφίζανε, καὶ ὁ τῆς μνήμης χάρτης ἁπαλός τις ἦν πρὸς ἀπογραφὴν καὶ πρὸς ἀποβολὴν δυσεκτύπωτος. ἐφιστὰς ἐπὶ τούτῳ τῷ τῆς ῥητορικῆς ἵππῳ, καὶ τὸν τῆς φιλοσοφίας κατὰ ταὐτὸ χειρίζῃ χαλινόν τε καὶ μύωπα, ἵν᾽ ᾖ σοι καὶ τοῦ θράσους ἀναχαιτίζειν, εἴ τί που καὶ θρασύνοιτο, καὶ πρὸς τάχος ὑπονύττειν, ὅπῃ καὶ νωθέστερος γίνοιτο. ἢ καί, ὡς ἄν τις εἴποι, τῷ πάντων χαριεστάτῳ φαρμάκῳ καί τι τοῦ στύφοντος συνεκέρασας καὶ γίνεταί σοι τὸ ἐξ ἀμφοῖν κρᾶμα θαυμάσιον· ῥητορεύεις ἐν φιλοσόφοις καὶ φιλοσοφεῖς ἐν ῥήτορσι, καὶ οὔτε σοι τὸ φιλόσοφον ἀρρητόρευτον (ἄχαρι γάρ) οὔτε τὸ ῥητορικὸν ἀφιλόσοφον (ἄκλυτον γάρ).*

20 *Τί προσεπὶ τούτοις σὺ μηχανᾷ καὶ τί διανοῇ; καὶ τί πράττεις ὁ καὶ τὴν ῥητορικὴν τονώσας καὶ τὴν φιλοσοφίαν καταμελιτώσας, ὡς μήτ᾽ ἐκείνην ἔχειν ἑταιρικωτέραν καὶ τὸ παντελὲς οὐκ εἶναι ταύτην ἀνέραστον; ὁρᾷς τοὺς κατ᾽ ἐκεῖνο καιροῦ σοφιστεύοντας, ὁπότε μήτε τὰ τῆς πολιτείας ἦν ἀρρητόρευτα μήτε τὰ τῆς ῥητορικῆς ἀπολίτευτα· ἀνάγεις ἐπ᾽ ἐκείνους τὸν ζῆλον, θαυμάζεις τοὺς ἄνδρας, ἀποθαυμάζεις τὴν παλαιὰν ἐκείνην σοφιστικὴν καὶ διανοῇ περὶ ταύτης, ὡς κάλλιστα ἀποβαλέσθαι ⟨μὲν⟩ τὸ μυθῶδες καὶ ὅσον πλασματικόν, ἀντεισάξαι δὲ τὸ πολιτικὸν καὶ ὅσον ἐπ᾽ ἐκκλησίας ἔμπρακτον. ἐντεῦθεν ἀπὸ τῆς παλαίστρας καταβαίνεις ἐπὶ τὴν ἄθλησιν καί, τὴν νομοθετικὴν ἐκμελετήσας ὡς ἄριστα, ἀναβαίνεις ἐπὶ τὸ βῆμα· κατάγεις τὴν ῥητορικὴν ἐπὶ τὰ πάτρια, μετάγεις τοὺς λόγους ἀπὸ τῶν πλασμάτων ἐπὶ τὰ πράγματα, καὶ ξυμβουλεύεις οὐκ ἐν μύθῳ καὶ δημηγορεῖς οὐκ ἐν πλάσματι· καὶ στασιάζουσαν | μὲν οὐκ ἀναπλάττεις* 407]
*ὑπόθεσιν, ἀλλ᾽ ὅσον στασιῶδες τῇ πολιτείᾳ καὶ μάχιμον ἡ τῶν πραγμάτων εἰσῆξεν ἀντίπνοια, εἰ μόνον σὺ μικρὸν ἀντιπνεύσεις, εὐθὺς μεταπέπλασται·*

τοιαῦτα σὺ τῇ ῥητορικῇ τὰ ἕδνα ἐκόμισας, τοιαῦτα τὰ τροφεῖα τῇ θρεψαμένῃ ἀπέδωκας.

Δοκῶ μοι ταύτας ἐξ οὕτω μακρᾶς καὶ πολυχρονίου τῆς ἀποικίας ἐπαν- 21
ηκούσας, ὡς νῦν πρώτως προσεῖδόν τε ἅμα καὶ προσεῖπον, ἀλλήλας περιβάλλειν ἀδελφικαῖς ταῖς ὠλέναις, προσφύεσθαι περιπλέκεσθαι, ὅπως καὶ ὅπῃ διῆγεν ἑκατέρα πυνθάνεσθαι. καὶ ῥητορικὴ μέν, ὅπως τὸ πολιτικὸν αὐτῆς πεφυγάδευτο, συννεφὴς καὶ κατηφιῶσα τὸ πρόσωπον διέξεισι· καί που καὶ ἀστακτεὶ καταστάζει τὰ δάκρυα, οὐκ ἀνεκτὰ τληπαθοῦσα καὶ αἰδουμένη, ἐφ᾿ οἷς πάλαι τοῦ βήματος ἐξωστράκιστο, εἰς ἀτιμίαν ἐβάλλετο καὶ κατάκρισιν εἶχε τὸ ἀπολίτευτον, καὶ ὡς ὄντως ἀμυδρὸν εἴδωλον μόνον πολιτικῆς ὑπολέλειπτο. ἡ δὲ φίλη ταύτης καὶ ἀδελφή, ἡ πολιτεία λέγω, ἑτέρωθεν ἀντιδιηγεῖται, μεθ᾿ ὅσης ἂν εἴπῃς τῆς κατηφείας, ὅπως τῆς ἀδελφῆς ἐλεεινῶς ἀποκέκοπτο, ὅπως ἀπερριπτεῖτο τῆς τέχνης καὶ τῆς σπουδῆς, ὅπως τῶν παλαιῶν ἐκείνων ἀνδρῶν τὸ βῆμα κεκένωτο, ὅπως ἀπὸ Δημοσθένους ἀπ᾿ Ἰσοκράτους ἀπὸ Πολέμωνος ἐς οὕτως ἰδιώτην καὶ ξύγκλυδα ὄχλον μετέπεσε, καί πού τις ἰδιωτικώτερον καὶ τὴν γλῶτταν καὶ τὴν στολὴν ἀναβεβλημένος τῆς ἐκκλησίας ἀδεῶς κατεχόρευσε. ταῦτα ἐπειποῦσα τῇ τε ἀδελφῇ προσέφυ θερμότερον καὶ ἅμα τι καὶ ἐπεδάκρυσε καὶ ἄκραν τὴν γλῶτταν ἐπέδειξεν, ὅπως ἀγροικικώτερόν τε εἶχε καὶ τὸ ὅλον ἐκβεβαρβάρωτο, καὶ τὴν στολὴν ὅπως ἰδιώτευσε προσεπέδειξεν. οὕτω φιλάδελφα σπεισάμεναι δάκρυα ἐπὶ σὲ μεταφοιτῶσι, καὶ στεφανοῦσι καὶ παντοδαπῶς περιέπουσι τὸν ξυνοικιστὴν τὸν φίλον τὸν ἐραστήν, τὸν ἀνακομιστὴν τὸν εὐδαίμονα, τὸν καὶ τοὺς λόγους ἀποδόντα τῇ πολιτείᾳ καὶ τὴν πολιτείαν τοῖς ἔργοις ἀντικοσμήσαντα.

Τρίτη ἐπὶ ταύταις καὶ ἡ ‛Δίκη᾿ ἀπ᾿ οὐρανοῦ κάτεισι, ‛κυδρὴ᾿ γεγαυῖα, 22
‛μειδιῶσα᾿ τὴν ὄψιν, γεγανυμένη τὸ πρόσωπον, οἷς αὖθις διὰ σὲ καὶ τὸ τῆς σῆς γνώμης εὐθύδικον ἐξ ὑπαρχῆς ὥσπερ ἐς ἀνθρώπους παρήγγειλεν. ἡ δὲ τηλικοῦτον ἐπὶ σοὶ χαίρει καὶ οὕτω τι ἐναγάλλεται, ὡς οὔποτε λείπει θατέρᾳ μὲν τῆς σῆς ἐφαπτομένη κορυφῆς, ὡς παρ᾿ Ὁμήρῳ τῆς Ἀχιλλέως κόμης ἡ Ἀθηνᾶ πεποίητο, θατέρᾳ δὲ μυρίων ἀγαθῶν ὁρμαθὸν ἐπαγομένη· καὶ νῦν διά σε προσεπιφιλοτιμεῖται πάντα τῇ πόλει ὁπόσα ἡ τοῦ Ἀσκραίου Μοῦσα ταῖς τῶν πόλεων εὐθυδικοτέραις ἀπένειμε. περιπτύσσεται δὲ καὶ τὰς ἀδελφάς, τήν τε σοφιστικὴν καὶ τὴν πολιτικήν, καὶ κοινὸν ξυνιστῶσι χορόν· καὶ σὲ τὸν καταγαγόντα παντοίως ὑμνοῦσι κυδαίνουσιν ἀποθαυμάζουσι, τὰ παρ᾿ ἑαυτῆς ἑκάστη εἰς κόσμον σοι ξυνεισφέρουσιν.

23 Ἐντεῦθεν καὶ πρωτιστεύεις τῶν ἐν Μεγαλοπόλει καὶ σοφιστεύεις ἐπ᾽ ἐκκλησίας καὶ κρατιστεύεις ἐν ῥήτορσιν. ἐὰν ἴδω σε φθεγγόμενον ἐπὶ βήματος, μετὰ τῆς Θηβαίας λύρας καὶ αὐτὸς «κράτιστον τὸν φυᾷ σοφὸν» ἀνακρούομαι, «οἱ δ᾽ ἄλλοι παγγλωσσίᾳ κόρακες | (407r) ὡς πρὸς σέ μοι δοκοῦσι γαρύοντες ἄκραντα». ἂν θεσμοδοτοῦντα ταῖς δίκαις ἐπόψομαι, μετὰ Πυθαγόρου σε τάττω καὶ τὸ ‘μὴ ζυγὸν ὑπερβαίνειν’ ἔργοις αὐτοῖς ἀπὸ σοῦ μαθητεύομαι, καὶ ξυνίημι τοῦ λόγου καὶ καταμανθάνω τὸ αἴνιγμα. ἂν δὲ καὶ τὰ τοῦ Δράκοντος, ἂν δὲ καὶ τὰ τοῦ Σόλωνος τεχνιτεύοντα, τῆς τέχνης ἐθαύμασα, καὶ μετὰ Πρωταγόρου μηδὲν εἶναι τὴν φύσιν ἄνευ τέχνης ἀπομαντεύομαι. ὅτε μέντοι αὐθιγενές σοι τὸ ῥεῦμα τῆς γλώττης ἐπιβλύσει καὶ οἷον τὰ πρῶτα ἡ φύσις ἀνέδωκε, καταστοχάζομαί σου τῆς φύσεως καὶ μετὰ Πλάτωνος καὶ πρὸ τῆς τέχνης φύσει τὴν ῥητορικὴν ἔχειν σε πείθομαι. τί μοι πρὸς τὴν σὴν γλῶτταν ὁ Πύλιος, τί μοι τὸ τοῦ Ὀδυσσέως πυκνὸν καὶ πολύβουλον πρὸς τὸ τῆς σῆς ὁμιλίας μελισταγές τε καὶ ἐναρμόνιον; ἔθηκα ἄν σε καὶ μετὰ Παλαμήδους, εἰ μὴ φθόνῳ γλῶσσαν ἐκεῖνος πεπέδητο· σὺ δὲ καὶ τουτονὶ τὸν δεινὸν καὶ βαρὺν τῶν καλῶν ἀντίπαλον τῷ τῆς χάριτος ὑπερβάλλοντι κατεπάλαισας. ἐθαύμασα ἄν σε μετὰ Δημοσθένους, εἰ μὴ πρὸς Πέρσας ἐκκλησιάζων ἐκεῖνος ἀπένευε.

24 Καὶ γὰρ οὓς μὲν τῶν πώποτε σοφιστῶν εὐθυδικίᾳ γνώμης, οὓς δὲ γλώττης εὐροίᾳ, πᾶσι δὲ πάντας ἀπέκρυψας. ὦ γλῶττα Σειρὴν τῷ ὄντι λιγεία, ὦ νοῦς καὶ γλώττης ῥεούσης ὀξύτερος, ὦ γλῶττα δίκης ὑπέρμαχος, ὡς ἀδικίας αὖθις ἀντίμαχος ἡ γλῶττά σου, μία τῶν πυρίνων ἐκείνων γλωσσῶν τῶν τοῦ πνεύματος. εἴπω γὰρ καὶ τολμηρότερον· ἐκεῖθεν ἐξεχύθη χάρις ἐν τοῖς χείλεσί σου, ἐκεῖθέν σοι τῆς γλώττης ἡ πυράγρα κεχάλκευται, τούτῳ σὺ τῷ πυρὶ καὶ πῦρ ἕτερον παρεχάλκευσας, τοῦτο δὴ τὸ τεχνικὸν πῦρ, τὴν ἐπείσακτον φλόγα τὴν ἔξωθεν ἀναλάμπουσαν, τὴν ῥητορικὴν λέγω, τὴν δεινὴν τὴν δραστηριώδη τὴν ἐμψύχου πυρὸς ἀποπνείουσαν. ἀλλ᾽ ὁρᾷς, δυσαποσπάστως ἔχω τοῦ λόγου καὶ μόνον τῆς σῆς γλώττης ἐπιμνησθεὶς ὅλος ταύτης γίνομαι καί με τῶν ἄλ-

λων οὐδεὶς λόγος ὕπεισι — καίτοι καλὰ μὲν κἀκεῖνα καὶ οἷα μηδ᾽ ἂν αὐτὸς Μῶμος μωμήσαιτο· ἀλλ᾽ ἐγώ σοι πάντα τῆς Σειρῆνος τίθεμαι δεύτερα καὶ τοῦ λόγου μόνον γευσάμενος οὐκ ἐθέλω τοῦ λοιποῦ τὴν μετάβασιν.

Νῦν δ᾽ ἀλλά με καὶ μὴ θέλοντα τῆς προθυμίας ταύτης ἀφέλκει καὶ προσ- 25
αποσπᾷ βιαιότατα ὁ ἐμὸς Ὀδυσσεύς, ὁ τῆς τέχνης θεσμός, ἡ τοῦ λόγου προμήθεια. ἕξεις μὲν οὖν τὰς ἀρετάς φασιν, ὁπόσοις τὰ τῆς φιλοσοφίας ἐς τὸ ἦθος ἀνέδραμε· ταύτας δὲ τὰς ἕξεις ἀπὸ τῶν ἔργων ἐκεῖνοι χαρακτηρίζειν παρέδοσαν. καὶ μέντοι καὶ οὐδεὶς τοσοῦτον ἐριστικὸς καὶ φιλόνεικος, ὃς καπνὸν ἰδὼν ἀπὸ γῆς ἀναθρώσκοντα μὴ καὶ πῦρ εἶναι καταμαντεύεται, καὶ τὸ γάλα τῆς ἐπιστήμης ἰδὼν μὴ καὶ τοκετὸν κατεφώρασε. χρηστέον οὖν ἂν εἴη τούτοις δὴ τοῖς τῆς φιλοσοφίας νόμοις, καὶ ἐπὶ σοὶ καὶ ὑπόντα σοι τὰ ξύμβολα ὄψομαι, πάντως δὲ ὄψομαι καὶ θαυμάσομαι. ἑπόμενον ἂν εἴη καὶ τὰ ἑξῆς ἐπιμαρτυρεῖν σοι καὶ περιχαλκεύειν ἀδεῶς τὸ ἐγκώμιον.

Ἀρξώμεθα δὴ οὖν ἀπὸ τοῦ λογικοῦ τῆς ψυχῆς, ἅτε δὴ καὶ ἀνδρὸς 26
408] ἐπαινέται λογίου καὶ μύσται λόγου καὶ | τρόφιμοι. οὐκοῦν ἀρετὴ μὲν τούτου τοῦ μέρους φρόνησις, ἔργα δ᾽ ἂν εἴη φρονήσεως ἔχεσθαι μὲν τῶν αἱρετῶν, ἀπέχεσθαι δὲ τῶν φευκτῶν, εὖ βουλεύσασθαι ἡδέως ὁμιλῆσαι, τοὺς καιροὺς ξυνιδεῖν εἰπεῖν ἄριστα, διαπράξασθαι βέλτιον, τοῖς χρησίμοις ἀγχίνως χρήσασθαι τοῖς ἐνοῦσιν ὀρθῶς ἀποχρήσασθαι· προσέτι γε μὴν εἶναι τὴν ψυχὴν ἥμερον πραγμάτων ἔμπειρον, τῶν ἀγαθῶν μνήμονα τῶν φαύλων ἀμνήμονα. ὁ δὴ ταῦτα πάντα παρ᾽ ἑαυτῷ ξυνελών, εἰκότως ἂν οὗτος εὖ ἔχων τοῦτο τὸ μέρος καὶ λέγοιτο καὶ νομίζοιτο. τί φῂς ἐπὶ τούτοις, ὦ πάντων ἀνδρῶν ὀξυνούστερε; ἆρ᾽ οὐκ ἐπέγνως σου τὴν μορφὴν τὸ κάτοπτρον κατιδών; ἢ ⟨οὐ⟩ καὶ τυφλῷ δῆλον ὡς ἐπέγνως μὲν ἠρυθρίασας δέ, καὶ νῦν λέγειν ὀκνεῖς, ἃ πάλαι πράττειν οὐκ ὤκνησας; ἀλλ᾽ αὐτίκα σοι καὶ τοῦτο τῆς πρώτης καὶ τελεωτάτης φρονήσεως, μὴ μεγαλαυχεῖν μηδ᾽ ἐπαίρεσθαι τοῖς αὐτοῦ καλοῖς σεμνυνόμενον, ἀλλ᾽, ἤδη καὶ λεγόντων ἑτέρων, αὐτὸν ἐπὶ τούτοις σε φλέγεσθαι. ὁρᾷς, ὅπως καὶ φεύγων ἑάλως καὶ λέγειν αἰδούμενος τὸν ἔλεγχον οὐχὶ πέφευγας, καὶ τὸν εὐφημότερον ἀποπροσποιούμενος τούτῳ πλέον τεθαύμασαι.

Σοὶ μὲν οὖν καὶ τοῦτο τοῦ καλοῦ τοῦ τέως ἂν εἴη προσθήκη καὶ τῆς εὐφη- 27
μίας ὑπερβολή· ἐγὼ δ᾽ ἀλλά — μὴ καὶ σιωπῶν ἀνδρῶν ἁπάντων φανείην σκαιότατος, καὶ δικαίως ἴσως, οἷς οὕτω τι θαυμαστὰ λέγειν εὐπορῶν ἀναδύομαι. τίς γὰρ οὕτως, ὡς μὲν ἡδὺς ὁμιλῆσαι ὡς δὲ ὀξὺς συνιέναι, καὶ τὸ μέλλον ἰδεῖν ἐκ μακροῦ καὶ φυλάξασθαι; ἢ τίς ἀγχινούστερος καὶ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/29 UNIVERSITÄT LEIPZIG

λέγειν καὶ πράττειν καίρια; ἢ τίς ἐπὶ τοσοῦτον καὶ τὴν ψυχὴν ἠρεμαῖος καὶ στάσιμος, καὶ τὸ ἦθος ἄπικρος καὶ πρὸς ὀργὴν οὐκ εὐκίνητος; δικαιοσύνης δὲ πέρι – μὴ καὶ λέγειν πρὸς εἰδότας περίεργον; μεστοὶ γὰρ ἐστὲ τοῦτο τὸ μέρος, καὶ ὁρῶντες καὶ ἀκούοντες ⟨. . .⟩, φιλανθρωπίαν δὲ ἤθους, καὶ τὸ πρὸς τὰ καλὰ τῶν ἔργων εὐδάπανον καὶ τὴν εἰς τὸ δέον δαψίλειαν καὶ τἆλλα τῆς ἐλευθεριότητος, καὶ προσεπὶ τούτοις ὡς οὐδὲ τρυφὴν ἐμακάρισεν οὔτε πλοῦτον ἐθαύμασεν, ἀλλ᾽ ἔχει καὶ πρὸς ἄμφω τὸ μέτριον· οὐδὲ γὰρ σαλάκων οὐδὲ τρυφερὸς οὐδ᾽ ἁβρόβιος.

28 Τί ἂν τις καὶ λέγοι, ἐξὸν αὐτοῖς ἔργοις τοῦ ἀνδρὸς ἐπιδεῖξαι τὸ μεγαλόψυχον καὶ ξυμπάσας τὰς ἀρετὰς ἑνὶ λόγῳ προσεπιδεῖξαι καὶ ξυναγαγόντα καὶ ξυγκομίσαντα; τοῖς γὰρ ἄλλοις τῆς περὶ τὸν βίον δίχα διῃρημένης ὑποθέσεως, καὶ τῶν μὲν ἀφιερωμένων τῷ βήματι καὶ τὸ τῆς ἱερωσύνης ζηλούντων μονότροπον, τῶν δὲ καὶ πρὸς τὸ τῆς πολιτείας πολύπραγμον ἐπτοημένων καὶ τὸν περὶ τοὺς κρατοῦντας κύκλον ἀποπληρούντων καὶ περιπολούντων ὁσημέραι σχεδὸν τὰ ἀνάκτορα, ὁ δὲ καὶ τοῦ βήματος, ὅ φησιν, ἀμφοτέραις ἐδράξατο καὶ τῆς συγκλήτου βουλῆς οὐκ ἀπέσχετο· ἀλλὰ πρόσεισι θεῷ μὲν ἱερώτατος βασιλεῖ δὲ φιλοθέῳ πολιτικώτατος, καὶ ξυνεπικοσμεῖ τὸ μὲν βῆμα τῇ πολιτείᾳ τὴν δὲ πολιτείαν τῷ βήματι, καὶ οὔτε τὴν ἐκκλησίαν ἀπολίτευτον εἴασεν οὔτε τὴν πολιτείαν παρῆκεν ἀνίερον· ἀλλὰ γίνεται τοῦτο τὸ μέρος φιλόθεος ὡς ἐκεῖνο φιλοβασιλεὺς καὶ φιλόπολις· καί, ἃ τοῖς πολλοῖς οὐκ οἶδ᾽ ὅπως ἀλόγως ἀποταφρεύεται καὶ διείργεται, συνῆψεν οὗτος εἰς ἓν καὶ συνήγαγε καὶ δι᾽ ἀλλήλων ἄμφω θαυμασίως ἐκόσμησεν.

29 Οὔτε γὰρ βασιλεία καὶ ἱερωσύνη πολύ τι τὸ ὀθνεῖον ἔχουσι καὶ ἀξύμφυλον· καὶ ὁ Χριστὸς κύριος, φιλόχριστος καὶ ὁ βασιλεὺς φιλόθεος καὶ τοῦ πρώτου βασιλέως εἰκὼν καὶ τῆς ἐκείνου φιλανθρωπίας ἀπόρροια. | [408v] καὶ τοῦτό ἐστιν οἶμαι καὶ παρὰ τῶν θύραθεν ὁ τῷ ὄντι φιλόσοφος, ταὐτὸν δὲ εἰπεῖν καὶ φιλόθεος, θεοῦ μιμητὴς κατὰ δύναμιν, καὶ τοσαῦτα τὴν πολιτείαν ἐπανορθῶν ὁπόσα πρότερον ἐκεῖνος αὐτὸς ἐπανώρθωτο. εἰ γοῦν τις θεὸν ἐμιμήσατο, καὶ βασιλέα φιλόθεον πάντως ξυνεμιμήσατο· ὡς εἴ τις αὖ βασιλέα φιλόθεον ἐθεράπευσε, καὶ θεὸν τὸν ἐκείνου βασιλεύσαντα πάντως ξυνεθεράπευσεν. ἀπώνατό σου ταύτης τῆς πολιτείας καὶ τῆς Ἑλλάδος πολύ, ὁπότε σου καὶ τὸ ῥεῦμα τῆς γλώττης ἐθαύμασε καὶ θεμιστεύοντος τὴν μεγαλόπολιν ἐμακάρισεν. οἷόν σε τῆς δίκης ἐθρέψατο πρόβολον,

ὁπότε σου καὶ δημηγοροῦντος ἴσα καὶ βροντῶντος ἐπ᾽ ἐκκλησίας κατέπτηξεν, ὡς μηκέτι τὸν Περικλέα διὰ τοῦτο καλεῖν ἐθέλειν Ὀλύμπιον. καὶ τοῦ κρατοῦντος ἠγάσθη τὸ μεγαλεπίβολον, ὡς οὐκ ἐσφάλη περὶ τὴν ἀρχαιρεσίαν, ὡς οὐκ ἠγνόησε τὸν εἰδότα τῆς Ἑλλάδος ἄρχειν Ἑλληνικώτερον, ὡς ἱερωσύνην τῇ πολιτείᾳ συνεκεράσατο καὶ οὔτε τὸ χρηματιστικὸν ἐπαφῆκεν αὐτῆς ἄκρατον, ἀλλὰ καὶ πλείους εἶναι τοὺς ἄρξοντας ἐδικαίωσε, τῷ μεγέθει τῆς ἀρχῆς ἀναμετρήσας ἀνάλογον. καὶ σὲ χαλιναγωγὸν οἷον ἐκείνοις φέρων ἐπέθηκε καὶ ὡς ὄντως Ἑλλανοδίκην ἀπέδωκε τὰ πρὸς εὐθυδικίαν παιδαγωγήσοντα. κἀκεῖνοι μὲν ἦρχον ὡς ἕκαστος ἔτυχε πόλεων, ἦρχες δ᾽ οὐδὲν ἧττον καὶ τῶν ταῖς πόλεσιν ἐφεστώτων· καὶ πάντα πᾶσι θεσμοδοτῶν οὐκ ἔληγες καὶ πανταχόθεν εἶχες τὴν δίκην ἐμπρέπουσαν.

Τότε δὴ τότε καὶ Ἀριστείδης ὡς πρὸς σὲ καὶ τὴν σὴν εὐθυδικίαν μηκέτι **30**
καλεῖσθαι δίκαιος ἐκινδύνευσε, καὶ Θεμιστοκλῆς τὸ[ν] ξυνετὸς δοκεῖν μικροῦ παραπώλεσε· καὶ τότε μᾶλλον ἕνα Βυζάντιον ῥήτορα πάντες ὑπέπτηξαν Ἕλληνες ἢ ὅτε τὸν Πύθωνα εἶδον πολὺν ἐπ᾽ ἐκκλησίας ῥέοντα. ἀπὸ τούτων σου τῶν ἔργων, ἀπὸ ταύτης σου τῆς προθέσεως κοινὸν ἐπλέξω τὸν στέφανον πολιτείας καὶ βήματος, καὶ ξυναπήλαυσαν ἄμφω σοι τοῦ καλοῦ καὶ πολὺς αὐτὸς ἐν ταῖς ἁπάντων ἔκεισο γλώσσαις, καὶ τοῦ βήματος ὢν καὶ τῆς συγκλήτου μὴ χωριζόμενος. ἐρᾷ σου τὸ ἀπὸ τοῦδε καὶ ἡ ἐκκλησία διαπυρώτερον καὶ ἡ πολιτεία προσφύεται καθαρώτερον· καὶ ἡ μὲν ἀφιεροῖ σου τῆς ἀξίας τὸ μέγεθος, ἡ δ᾽ ὡς εἰς ἀντερῶσαν ἀντιφιλοτιμουμένη ζηλοτυπώτερον δωροφορεῖ σοι πλείω καὶ τελεώτερα. καὶ γίνεταί σοι τὰ δῶρα τῆς ἔνδον διακοσμήσεως οἰωνὸς ἀγαθὸς καὶ σύμβολον περιδέξιον. ἔδει σε ἀνδρῶν ἁπάντων θαυμασιώτατον, τὸ τρ⟨υττ⟩ὸν τῇ στολῇ εὐκόσμως στολίσαντα καὶ τὴν τῶν ἀρετῶν πορφύραν τὴν ἄνωθεν ὑφαντουργουμένην ἐπενδυσάμενον, ἰσάριθμον καὶ τὸ τῆς ἀξίας περιζώσασθαι μέγεθος. ἔδει σέ, τὸ τῆς ὕλης ὑπεραναπτάντα χαμαίζηλον καὶ τοῖς τῶν ἔργων θαυμασιωτέροις τὴν ψυχὴν ἀξιοθαυμάστως ἐπιμορφώσαντα, καὶ τὸ τῆς δυάδος ἐς ὕλην ἀνάλογον ὑπεραναβῆναι καὶ τριπλῆν τινα τὴν ἀξίαν διὰ ταῦτα κομίσασθαι. ἔδει σε τὸ τίμιον ἐς αὐτὸν ἀποκορυφῶσαι τὸν ἀριθμόν, ὃν καὶ τέλειον ἀποφοιβάζουσιν οἱ τὰ τοιαῦτα σοφωτέρως ἐνθεάζοντες, ἀνθ᾽ ὧν εἰς τὸ τῶν ἐφετῶν ἀκρότατον καὶ τὸ τῶν ἀγαθῶν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/31 UNIVERSITÄT LEIPZIG

τέλος ἀναδεδράμηκας καὶ τοῦ τριπλοῦ τῆς εὐδαιμονίας κρατῆρος ἔσπασας, | καὶ νῦν ἐκεῖθεν τὸ τρισόλβιος καὶ τρισμακάριος ἔχεις ἀπαρυσάμενος, 409] καὶ τἆλλα ὁπόσα τῶν ὀνομάτων εὐδαίμονα καὶ μακάρια καὶ τοιαύτης πηγῆς τοιαῦτά σοι μετωχετεύθη τὰ ῥεύματα.

**31** *Καὶ νῦν πίνεις τῆς μακαριότητος ὁ μακάριος καὶ κορέννυσαι τῆς εὐδαιμονίας ὁ πάντων εὐδαιμονέστατος, καὶ τὸν ὑφ᾽ οὗ σοι τἀγαθὸν τοσοῦτον ἐπέρρευσε καὶ πολύκρουνον, λέγω δὴ τὸν καὶ τὴν ἀρχὴν θεόθεν τὰ Ῥωμαίων σκῆπτρα διέπειν λαχόντα καὶ νῦν ὑπὸ σωτῆρι θεῷ δυναμούμενον καὶ τὸν τῶν βαρβάρων ἀκαμπῆ τράχηλον ὡσεὶ νεῦρον σιδήρεον κατακάμπτοντα σωτηρίας διψῶντα ποτίζεις, καὶ γάλα κιρνᾷς ἱλαρότητος καὶ νέκταρ ἀποστάζεις θειότητος. ἐκεῖνος ἐφιστᾷ σε τοῖς νόμοις ἐσθλὸν ἀ ρ η γ ό ν α, κατὰ τὴν ποίησιν, καὶ δίκης ἀπρόσμαχον ξύμμαχον καὶ τῆς ἀντιθέτου μοίρας ἀλεξιφάρμακον φάρμακον. ταῦτ᾽ ἄρα καὶ ξυναρήγεις καὶ διαλείπεις οὔποτε ξυμμαχῶν καὶ τὸν κρατοῦντα τῆς ἐλπίδος οὐκ ἔψευσας. ἐκεῖνος, καὶ κατὰ βαρβάρων ὁπλιζόμενος καὶ μέγαν ὠδίνων τὸν πόλεμον, ἑτέρου θειοτέρου στρατοῦ στρατηγόν σε καθίστησι καὶ χεῖρα δίδωσιν ὁπλιζομένην καινότερα· οἱ δέ σοι καὶ μὴ στρατεύοντες συστρατεύονται καὶ μὴ παρασπίζοντες παρασπίζουσι καὶ μὴ κινούμενοι φθάνουσι καὶ μὴ μαχόμενοι μάχονται. τίς οὐ θαυμάσει τὸ αἴνιγμα, τίς οὐκ ἀγαπήσει στρατιώτην παρόντα κἂν ἀποδημῇ, φθάνοντα κἂν οὐ τρέχῃ, βάλλοντα κἂν οὐ βάλλῃ, νικῶντα καὶ μὴ φαινόμενον, τροποῦντα καὶ μὴ μαχόμενον; ὢ δρόμων γινομένων ἀδρόμως, ὢ τροπαίων ἱσταμένων ἀμάχως, ὢ νίκης μὴ γευομένης αἵματος. αἴρει τὰς χεῖρας ὁ καινὸς οὗτος στρατὸς ὑπὸ σοὶ στρατηγῷ καὶ πίπτουσι βάρβαροι· πέμπει πρὸς θεὸν τὸν ἱκέσιον καὶ τὸ ἀλλόφυλον μάτην ἠλάλαξαν· ὀρφανὸς ὑπερεύχεται καὶ πολλοὶ τῶν βαρβάρων ἀπωρφανίσθησαν· χήρα πίπτει, μικρόν, εἰς προ⟨σευχὴν⟩ καὶ πολλαὶ τῶν Περσίδων ἐς τοῦτο τύχης μετέπεσον. χωλὸς ἐφώρμησεν ὑπερεύξασθαι καὶ πρὸς θεὸν ἀνεφθείρατο ἱκετήρια, καὶ αὐτίκα ἐπὶ μάχης χωλεύει τὸ βάρβαρον καὶ βασιλεὺς ἐξᾴδει τὰ νικητήρια. τοιούτους ἔχεις τοὺς ὑπασπιστάς, τοιούτους τοὺς στρατιώτας. ὦ καὶ Χριστοῦ στρατιῶτα καὶ φιλοχρίστου βασιλέως ὑπασπιστὰ τρόπον ἄλλον καινότερον, οὕτω σοι τῆς στρατιᾶς καὶ τὸ ἀπόμαχον πρόσμαχον καὶ τὸ ἄοπλον ἔνοπλον καὶ τὸ ἄδρομον δρομικώτατον. τοῦτό σου τὸ στρατόπεδον οὐκ ἔχουσι πόδας καὶ τὸ βάρβαρον ξυμποδίζουσιν· οὐκ ἔχουσι χεῖρας καὶ ὑπὲρ τὸν Τίγρητα τοξεύματα βάλλουσιν· οὐκ ἔχουσιν ὀφθαλμοὺς καὶ θεόθεν τῷ βασιλεῖ φῶς εἰς ποδηγίαν ἀνάπτουσιν. ἡ πόλις ἂν τέθηλε τοῦ νομοφυλακοῦντος τὸ ἕρμαιον, ὁ λαὸς ἂν μᾶλλον ἠνθή-*

κασι τοῦ δικαιοδοτοῦντος τὸ καύχημα. εἰ δὲ καὶ λιμὸς τοὺς ἄνδρας οὐκ ἐπιβόσκεται, διὰ σὲ καὶ τοῦτο τὸ καλὸν πάντες ἔχομεν, ὅτι καὶ διὰ σὲ πάντες εὐθύδικοι.

Ἔθρεψε πάλαι καὶ Ἰωσὴφ Αἴγυπτον ὅλην λιμώττοντας, ἀλλ᾿ οὓς ἔτρεφε 32
κατεδούλου καὶ οἷς ἀπηριθμεῖτο τροφὰς τὴν γῆν ἀφῃρεῖτο τὴν τρέφουσαν· καὶ γίνεται σιτοδότης οὐκ ἄμισθος· σιτοδοτῶν μέν, ἀλλ᾿ ὅλην καταδουλούμενος Αἴγυπτον· οἰκονομῶν μέν, ἀλλ᾿ ὅσον ἐπὶ χρήμασι τῷ προστησαμένῳ ξυνέφερε. σὺ δὲ καὶ οὓς ἐκτρέφεις οὐ κατεδουλώσω, οἷς γίνῃ σιτοδότης οὐκ ἀφείλου τὸ λήιον· ἀλλ᾿ ἔστι σοι καὶ τὸ καλὸν οὐκ ἀμφίβολον
409v] καὶ τὸ κακὸν | οὐκ ἀνίατον. τῷ δὲ βασιλεῖ γῆν μὲν ἀντιχαρίζει, τῆς οἰκονομίας ταύτης ἀντίχαριν, ἀλλ᾿ οὐ τὴν ἀρουμένην καὶ σπειρομένην καὶ ῥέουσαν (ἧς καὶ τοὺς στάχυς ἐπιβρίσας πολλάκις ἐξεκένωσεν ἄνεμος, καὶ πνεῦμα πυρωδέστερον ἀπέφλεξε τὰ ἐκφόρια, καὶ λάβρος ὑετὸς κατέφυρεν, εἰ τύχοι, τὰ λήια), ἀλλ᾿ ἑτέραν ἀντιμισθίαν, ἀλλ᾿ ἑτέραν γῆν καὶ θειοτέραν καὶ γονιμωτέραν, ἧς ὀπώρα τὸ ἐκεῖθεν ἀνέσιμον καὶ γεώργιον ψυχῶν τὸ σωτήριον· ἐκείνην λέγω τὴν γῆν, ἣν θεὸς ἐφύτευσε καὶ προπάτωρ ἐδρέψατο, ἣν οὐ Νεῖλος ἄρδει, μικρὸς ποταμὸς καὶ μικρὰ πελαγίζων ὡς ἀπὸ μικρῶν νιφάδων ἀναχεόμενος, ἀλλ᾿ ὅλοι τέτταρες ποταμοὶ καὶ ποταμῶν ἀρχέγονοι καὶ προπάτορες· τοιαύτην τὴν ἐπικαρπίαν ἀπό σου βασιλεὺς δέχεται, τοιαῦτα τὰ δῶρα κομίζεται, τοιοῦτον εὐτυχεῖ παρά σοι τὸ ὑπόφορον· καὶ κόλπος Ἀβραὰμ ὁ καρπὸς καὶ φόρος αὐτῷ τὸ σωτήριον.

Καὶ σὺ μὲν τοιαῦτα νέμοις τὰ δῶρα τῷ βασιλεῖ, βασιλεὺς δέ σε μείζοσιν 33
ἀντιδεξιώσαιτο καί σοι πλεῖον ἐπιμετρήσαι τὸ εὔδαιμον, ἵνα σου καὶ ἐπὶ πλέον τὸ τῆς γνώμης ἀναλάμψοι φιλόκαλον, καὶ σαυτὸν μὲν ἔργοις κοσμοίης ἡμᾶς δὲ λόγοις τοὺς ῥήτορας. κρατοῦμεν γὰρ οὕτω νικώμενοι καὶ κοσμεῖν δοκοῦντες κοσμούμεθα.

## 2. IN IOANNEM EP. BVLGARIAE EX ADRIANO COMNENO

In prooemio argumenta perardua gradatim esse oppetenda copiose lateque contenditur nec ad regiam viri, de quo agitur, originem non adluditur. inde laudes Adriani Comneni parentum proferuntur, primo patris, qui Isaacus fuit Sebastocrator, Ioannis, fratris Isaaci I (1057–1059), filius atque Alexii I imp. frater (exinde Adrianus Ioannis II imp. patruelis); mox matris, Irenes ex Caucasica Alania, cui dominae regale genus Christianam legem sequens. inde Adrianus a puero omni genere virtutum viribusque corporis floruit optimeque patre auctore educatus est, qui doctrinae elegantiam sibi suisque persequebatur. iuveni cum antiquorum nonnullis breviter, quae lex est encomii, comparato, auctor eum in ducis (an praetoris?) gradu collocatum ad Chalybes, gentem in Ponto barbaram, missum commemorat, ubi nihil ad utilitatem suam rettulerit, omnia recte iusteque dispensaverit. fide atque innocentia viris antiquitus divitias neglegentibus, immo in dando munificentissimis, ut Crateti et Anaxagorae seu Aristidi et Cyro Magno, longe praestiterit. munere civili perfunctus, monachicum autem statum sibi constituit, immo sacerdotale ministerium obiit, et sacerdos Ioannem imperatorem expeditionem suscipientem in Orientem comitatus est. sequitur hic excursus de bello Cilicio et Syriaco (1137–1138), cuius primum exitum Ioannes Antiochiam ingressus (d. 22 mensis Maii a. 1138) victor effecit, deque Ioannis fratribus Andronico et Isaaco, qui exsules multos iam annos Orientem pererraverant, cum fratre imperatore reconciliatis. extrema oratione resciscimus Adrianum (futurum c. anno 1140 Bŭlgariae patriarcham), cum Antiochiae ab armis recessum esset, ad Palaestinam iter per speciem loca sancta lustrandi intendisse, re, ut videtur, ad regem Ierusalem Ioannis II mandatu invisendum.

### *Λόγος εἰς τὸν σεβαστὸν κῦρ Ἀδριανὸν τὸν υἱὸν τοῦ σεβαστοκράτορος κυροῦ Ἰσαακίου τοῦ Κομνηνοῦ καὶ αὐταδέλφου τοῦ βασιλέως κυροῦ Ἀλεξίου τὸν διὰ τοῦ ἀγγελικοῦ σχήματος Ἰωάννην μετονομασθέντα* S 409ᵛ

1 *Καὶ τῶν ἀθλητῶν ὁπόσοι τὰς γνώμας καὶ τὰς ὁρμὰς σπουδαιότεροι καὶ κατὰ νόμους ἀθλητικοὺς ἀθλεῖν ἐπιστάμενοι, καὶ τὸ κρατεῖν, ὡς ἐπὶ τούτοις, οὐκ εἰς ʽτὸ Τύχηςʼ ἀπορριπτοῦντες ʽαὐτόματονʼ, ἀλλʼ ἀρετῆς ἆθλον ἡγούμενοι, καὶ πολλοῖς τοῖς προπονήμασι καὶ οὐκ ὀλίγαις ταῖς προμελέταις τῇ γυμναστικῇ τὸ πᾶν ἀπονέμοντες, οὐ πρότερον καθιᾶσιν ἑαυτοὺς εἰς τὸ στάδιον, οὐδʼ Ἰσθμοῖ τις ἢ Νεμέᾳ· τούτων δὴ τῶν περὶ τοὺς ἄθλους ἐχόντων οὔποτʼ οὐδεὶς περὶ τὴν ἄθλησιν ἀπεδύσατο, πρὶν ἂν πολλὰ μὲν οἴκοι τῶν ἀμφὶ παλαίστραν ἢ καὶ παγκράτιον προαθλούμενος ἐπησκήσατο, οὐκ ὀλίγα δὲ καὶ τῆς ἀπὸ τῶν ἀλειπτῶν πολυπειρίας ἐμυσταγωγήθη προαπ-*

*ονάμενος. ἀλλ᾽ οὕτω μυρίας μὲν τῆς περὶ τὸ γυμνάσιον γευσάμενος κόνεως, μυρίας δέ τισιν ἄλλοτ᾽ ἄλλως πληγὰς ἐντριψάμενος, τέλος ἐπὶ τὸν ἀγῶνα καὶ τὸ θέατρον εἴσεισι, οὐκ ἀτριβὴς τὸ παράπαν ἀθλητικῆς ἐπιστήμης οὐδ᾽ ἀτημέλητος.*

*Ἔνθεν τοι καὶ γεωμετρῶν παῖδες, οἷς γεωμετρίας μέλει καὶ τῶν ἐκείνης, ὥς φασι, ἱερᾶς τέχνης ἱερῶν ἀποδείξεων ἅμα τέ τινι τῇ σπουδῇ ταύτης καὶ τῆς περὶ τὰ τοιαῦτα θεωρίας ἐμέλησε, καὶ ἅμα ἐκεῖνοι καλῶς ἄρα τοῦτο ποιοῦντες καὶ νομίμοις νόμοις ξυνᾷδον ἀθλήσεως σχῆμα καὶ βῆμα γεωμετρικήν φασι, γεωμετρικῶς προσεπᾴδουσι καὶ τοῦτο γεωμετροῦσι τὸ μέρος ὥς οἷά τι σεμνὸν τοῦ τῆς ἐκείνων ἐπιστήμης νεὼ προτεμένισμα καὶ τῶν ἐκείνης ἀδύτων οὐκ ἀγεννές τι προβώμιον.*

*Τί τοῦ λόγου τούτου βουλομένου καὶ τί προδηλοῦντος τοῖς σοφοῖς γεωμέτραις τοῦ σοφοῦ τούτου λήμματος; ἐμοὶ δοκεῖν ὡς δεῖν πάντη πάντως*
410] *ἀπὸ τῶν χθαμαλωτέρων μεταβαίνειν ἐπὶ τὰ μετεωρότερα | κἀκ τῶν προτελείων ἐπὶ τὰ τελεώτερα κἀκ τῶν ἁπλουστέρων ἐπὶ τὰ πολυσχιδῆ τε καὶ ξύνθετα.*

*Ἐπεὶ οὖν τοῦθ᾽ οὕτως ἔχει, κατὰ δὴ τούτους τοὺς τρόπους καὶ ἡμεῖς, ὦ ἄνδρες, ἀγωνιούμεθα καὶ νόμοις ἀθλητῶν ἑπόμενοι καὶ λόγοις γεωμέτραις πειθόμενοι.*

*Ἀλλὰ τίς ὁ ἀγὼν καὶ τί μοι τοῦ λόγου τὸ πρόασμα; καὶ διὰ τί καὶ πρὸς* 2
*τί ταῦτά μοι πεφροιμίασται; ὡς μέγας μὲν ὁ ἀγών, μέγα δὲ καὶ τὸ τόλμημα καὶ τῆς Ἰκαρίου πτήσεως ἐκείνης τῆς μυθικῆς πολύ τι παραβολώτερον. ἔδοξέ μοι τὸν μέγαν φωσφόρον τὸν τὴν καθ᾽ ἡμᾶς ταυτηνὶ ζώνην διιππεύοντά τε καὶ θάλποντα κατὰ τοὺς ἀετιδῶν θρασυτέρους οὕτω μικραῖς αὐτοπτῆσαι ταῖς ὄψεσιν. ἆρ᾽ οὐ θρασὺ τὸ ἐγχείρημα, ὦ παρόντες; ἆρ᾽ οὐ φρικώδης ὁ ἆθλος οὗτος καὶ τῶν πώποτε ἄθλων ὁ φρικωδέστατος;*

*Ξυνήκατε καὶ ὑμεῖς τίς ὁ ἐμὸς οὗτος φωσφόρος καὶ παρευθὺ ταῖς χρυσαυγέσιν αὐγαῖς καὶ ταῖς ἀπλέτοις ἐκεῖθεν μαρμαρυγαῖς ὅλους τοὺς τῆς διανοίας ὀφθαλμοὺς περιελάμφθητε, περιηυγάσθητε, καὶ τὴν αὐτόπτησιν οὐκ ἠνέγκατε.*

*Πρὸς τοῦτον δὴ τὸν κοινὸν τῆς οἰκουμένης ὀφθαλμὸν καὶ μέγαν ἥλιον* 3
*τὸν ʽμυρία⟨ς⟩ ἐπὶ μυρίαις᾽ ταῖς χάρισιν ἐξαστράπτοντα πολλὰ πολλάκις*

ὡς οἷόν τε βουληθεὶς ἀντωπῆσαι, καὶ τὸ τοῦ κάλλους ἐναπομάξασθαι ἄρρητον οὐ γεωμετρικαῖς ἀποδείξεσιν, ὥρμησα μὲν ἀρχῆθεν ἐπὶ τὸ ξύνθημα, ἀλλ' ἀπέκαμον ἀλλ' ἀπεῖπον, ἀλλ' ἀπεκρούσθην ἀλλ' ἐπεσχέθην τῆς ὁρμῆς ἅμα καὶ τοῦ βουλήματος.

Ἔγνων οὖν τὸ τελευταῖον κλιμακηδὸν καὶ κατὰ βαθμίδας ποιήσασθαι τὴν ἀνάβασιν, καὶ πρῶτα μὲν ὡς ἐπ' ἄλλοις καὶ προπονῆσαι καὶ προαθλῆσαι καὶ τὴν ἐν λόγοις, ὡς ἀπὸ τοιούτων, κατὰ μικρὸν ἀποθηράσασθαι ὀξυδέρκειαν. Πυρόεις μὲν οὖν καὶ Φαέθων καὶ Στίλβων ἢ καὶ Ἀρκτοῦρος (ἀστρία ἄττα μικρὰ καὶ ὡς ἀπὸ μικρᾶς τῆς αὐγῆς καὶ τῆς ἄλλης μαρμαρυγῆς καὶ λάμποντα καὶ φαινόμενα) οὔπω τί μοι μέγα ἐδόκει τοῦ μεγάλου φωσφόρου καὶ μεγάλου πυρσεύοντος προάθλημα καὶ προπαίδευμα.

Εἰ δέ πως οἷόν τ' ἦν, τῶν τοῦ πρώτου καὶ μεγίστου φωτὸς ἀκτίνων τὴν πρώτην καὶ τελεωτάτην ἀποχωρίσαντα, ἐπὶ ταύτης προασκῆσαι καὶ προγυμνάσασθαι τὸ τὰ τοιαῦτα ὀξυωπεῖν καὶ ὅλοις ὀφθαλμοῖς λαμπρᾶς λαμπηδόνος οὐκ ἀμυδρὰν ἀπορροὴν εἰσοικίσασθαι, οὕτω δ' ἂν μόνως ᾠόμην καὶ τότε καὶ νῦν ἔτ' αὖθις οἴομαι τάχα καὶ πρὸς τὸν μέγαν τοῦτον ἀντιβλεπτῆσαί ποτε δυνήσεσθαι ἥλιον.

4 Ἀλλ' οὕτω μοι ταῦτα διανοουμένῳ καὶ πολλὰ ἐπὶ πολλοῖς σκοπουμένῳ καὶ φυλοκρινοῦντι τῶν ἀκτίνων ὁπόσαι τῆς αὐτῆς πορφύρας φανότερον ὡς 'ἀπὸ μιᾶς γραμμῆς' ἀναλάμπουσιν ἔφθης αὐτὸς ἐπιστάς, ὦ πολυτίμητε.

Ἐπέστης ἡμῖν κατὰ κορυφῆς, ἐπῆλθες ἐπηύγασας, καὶ γεγόναμεν ὥσπερ ἐμπνούστεροι. καὶ νῦν ἔχω σὲ τὴν ἀκτῖνα, τὴν μεγάλην τὴν θαυμαστήν, τοῦ μεγάλου τοῦ πρώτου φωστῆρος προάγγελον· καὶ ὅλος ἔνθους καὶ θεοφόρητος γίνομαι καὶ φέρομαι πρὸς ᾠδὰς καὶ μούσας ὑφ' ἡδονῆς. ἔχω τοῦ πρώτου φωτὸς τὴν πρώτην ἀπόρροιαν· καὶ οὐκ ἔχω πῶς ἄρα καὶ χρησαίμην τῷ μεγέθει τῆς χαρμονῆς.

Οὐχ οὕτω θέρους τέττιγες ᾄδειν ἐξάγονται, οὐχ οὕτως ἔαρος ἅπαν πτερὸν ὅσον ᾠδικόν τε καὶ φιλόμουσον, ὡς ἡμεῖς νῦν ὑπὸ σοῦ καὶ τῆς σῆς λαμπηδόνος περίθερμοι πρὸς 'λόγων ὠδῖνας' | γεγόναμεν καὶ πρὸς εὐφημίαν ἐπτερώμεθα καὶ γαῦρον οὐκ οἶδ' ὅπως καὶ θερμότερον περισκαίρομεν. [410v]

'"Ηλυθες, Τηλέμαχε, γλυκερὸν φάος' καὶ ὅσον ἐπῆν ἡμῖν ἀφεγγὲς καὶ

*Κιμμέριον μικροῦ διεσκέδασται καὶ νῦν ὁρῶμεν ἀνέφελα καὶ προσλαλοῦμεν ἐλεύθερα. ῾ἥκεις ἐπ᾽ αἰσίοις ξυμβόλοις λαμπρὸς λαμπρῶς ἄνωθεν᾽, ὥσπερ ἡλίου φαιδρά τις ῾ἀκτὶν ἐκ βασιλέως ἡμῖν᾽ ὀπτανόμενος. ἥκεις ἡ τοῦ πνεύματος χελιδών, καὶ τὸ ἔαρ τὸ μέγα, τὴν τοῦ βασιλέως ἐπιτολήν τε καὶ πρόοδον, ἀσπασίως εὐθὺς φανταζόμεθα.*

*Ὡς εἴθε καὶ τοῦτο τὸ ἔαρ τάχιον ἐποψοίμεθα, ἵνα ἔχοιμεν καὶ τὸν τοῦ καλοῦ κύκλον ὁλοτελῆ τε καὶ ἄρτιον.*

*Ἀλλὰ τί μὴ θᾶττόν σου τῆς ἀκτῖνος ἀποπειρώμεθα; τί δὲ μή, τὸν ἔξω* 5
*καὶ πολὺν τοῦ λόγου κύκλον ἀφέντες, ἐπ᾽ αὐτὴν ἤδη χωροῦμέν σου τὴν σελαύγειαν ἀτενέσι καὶ ὀρθοῖς τοῖς ὀφθαλμοῖς, ὁπόσα δὴ καὶ χωροῦμεν ἐπεντρανίζοντες; ἀλλὰ γὰρ οὔπω μοι ὀρθὸν ὁ λόγος ἐπέβλεψε καὶ παραυτίκα μυωπάζων πεφώραται καὶ δυσαντιβλεπτῶν ἀπελέγχεται· οὕτω σοι τὰ τῆς ἀκτῖνος ἀπρόσβλεπτα, οὕτω σοι καὶ μικρὸν ἔξαλμα καὶ ὑπὲρ ὅλας ἀστραπὰς ἀστραπηβολεῖ καὶ ὅλον καταστράπτει τοῦ λόγου τὸ πρόσωπον. οἰστέον δ᾽ οὖν ὅμως ὡς οἷόν τε καὶ βιαστέον τῷ λόγῳ τὴν ἔλλαμψιν καὶ τοὺς κρουνοὺς τό γε νῦν ἔχον παραδραμόντες ἐπ᾽ αὐτήν, εἰ δοκεῖ, τὴν προχοὴν ἀναδράμωμεν.*

*Ἀλλ᾽ ἰδού σοι καὶ τὸ ἀρχέγονον προσεβλέψαμεν καὶ τεθήπαμεν, ὡς καλός σοι ὁ ὀχετός, ὅθεν ἡ παντὸς καλοῦ πηγὴ προσεπέβλυσας, ὡς χρυσοῦς μοι ὁ δίσκος, ἀφ᾽ οὗπερ ἡ χρυσῆ τῷ ὄντι αὐγὴ τὰ πρῶτα ἐπηύγασας.*

*Ἔχεις ἐκ βασιλέων τὴν γένεσιν, ἔχεις ἐκ πορφύρας τὴν πρόοδον. ὁρῶ σε ῥόδον, οὐκ ἐν ἀκάνθαις οὐδ᾽ ἐξ ἀκανθῶν, ἀλλὰ ῥόδον ἐκ ῥόδων, ὡς ἂν εἴποι τις, καὶ φυόμενον καὶ τρεφόμενον· καὶ οἷον ἐν ῾τῷ τῆς τρυφῆς χωρίῳ πρὸ τῆς παρακοῆς᾽ τὸ καλὸν τοῦτο φυτὸν ἐξήνθησεν ἄκεντρον· ἐπὶ μέσου γὰρ καὶ σὺ λειμῶνος θεοφυτεύτου, δηλαδὴ τῶν ἀνακτόρων οὐδενὸς τῶν τῆς ἐντολῆς παρήκοος, ἀνεβλάστησας.*

*Καί σοι ὁ τῆς γονῆς πέπλος ἐκ πορφύρας ὅλος περιήνθισται, καί σοι τὸ τοῦ γένους ἡρωικὸν καὶ βασιλικὸν ἐκ τριγονίας ἀποκεκλήρωται· οὕτω σοι πανταχόθεν ἡ τῆς πορφύρας ἀνάλαμψις, οὕτω σοι μυριαχόθεν ὁ τοῦ βασιλικοῦ κρατὴρ κατὰ ποταμοὺς πηγάσας ὑπερανέβλυσεν.*

*Ἀλλὰ γὰρ οἷόν με τοῦτο διέλαθεν, οἷον τῆς προσηκούσης εὐφημίας* 6
*ἐξέπεσον· ἀπὸ τῆς κάλυκος τὸ ῥόδον ἐθαύμασα, ἀπὸ τοῦ κόχλου τὴν πορφύραν, ἀπὸ τῶν ἐλύτρων τὸν μάργαρον.*

*Σὺ δέ μοι κἂν τοῖς ἐγκωμίοις τὸν ἀρχὸν ἐπιδείκνυσαι, καί που καὶ*

ἐπισκυθρωπάζεις τῷ λόγῳ τοιαῦτά σε περικροτοῦντι καὶ ὡς ἀπὸ τοιούτων σεμνύνοντι. ἀλλὰ γὰρ ἀνάσχου μικρόν, ἄνθρωπε τοῦ θεοῦ, καὶ γενοῦ μοι κἀνταῦθα τοῦ σοῦ Χριστοῦ μιμητὴς καὶ φέρε μικροὺς τοὺς ἐπαίνους, ὁ πολλῶν τούτων, καὶ ὅσων μηδ᾽ ἂν ἔχοι τις εἰπεῖν, χρηματίσας ἐπάξιος, καὶ μὴ χαλέπαινε μηδ᾽ ἐπιμέμφου τὸν ῥήτορα. τί γὰρ ἂν πάθοι τις ἄνθρωπος ὢν καὶ τέχνην ἔχων ἀνθρωπικὴν ἢ πάντως ἀνθρωπικώτερον καὶ τὸν λόγον μεταχειρίσεται καὶ κατ᾽ ἄνθρωπον τὸν ὑπὲρ ἄνθρωπον ἐπαινέσεται;

Νῦν δή μοι θαυμάσαι τὸν σεβαστὸν ἐκεῖνον τὸν πρώην, τὸν ἐκ βασιλέων τὸν ἀπὸ τοῦ πρώτου γένους, τὸν ἐν συγκλήτῳ τὸν ἐν ἀρχείοις τὸν ἁπανταχοῦ περιλάλητον. μετὰ δέ σε καὶ τὸν μοναχὸν ἐπιδείξομαι καί σε τὸν ἐκ πορφύρας καὶ μετὰ τῶν τοῦ Χριστοῦ ῥακίων ὡς ἐξὸν ἐφυμνήσω καὶ προσεπιμακαρίσω | καὶ τὰ μείζω θειάσομαι. 411]

7 Σοὶ γὰρ τὸ μὲν ὡς ἀληθῶς γένος καὶ πρῶτον, ὑφ᾽ οὗ πάντες γεγόναμεν ἄνθρωποι καὶ πρὸς ὃ μόνον αὐτὸς ὀρθοῖς ἔβλεψας ὄμμασι· τὸ δὲ σοὶ φαινόμενον τοῦτο καὶ πρόσγειον, τὰ μὲν παππόθεν τε καὶ πατρόθεν, ὡς ἐξ ἔξω καὶ λάμπει φανότερον καὶ θρυλλεῖται περιφανέστερον· τῷ γὰρ ἡλίῳ συνανίσχον τὴν πρόοδον μέχρι καὶ πρὸς ἑσπέραν φιλονεικεῖ τῷ τῆς φήμης πτερῷ ξυνεπαίρεσθαι καὶ ξυνίπτασθαι.

Οὐ γάρ τις τῶν ἁπάντων τοῦ σοῦ γένους ἀνήκοος, ὡς μὴ καὶ Κομνηνὸν ἐκεῖνον τὸν μέγαν ἀποθαυμάζειν καὶ προσεπὶ τούτοις τὸν ἀπὸ τῆς ἐκείνου πορφύρας μετ᾽ οὐ μακρὸν ἀναλάμψαντα καὶ ὡς ἀπὸ νέφους τῆς μικρᾶς ἐκείνης διακοπῆς ποθεινότερον, ὡς παππῴῳ κλήρῳ τῇ Ῥωμαίων ἀρχῇ προσεπιφαύσαντα καὶ κοσμήσαντα· ᾧ σοι καὶ ὁ πατὴρ ξυνέπνει καὶ συνδιεῖπεν ἰσοστράτηγος ἰσοβασιλεύς, παρὰ τἀδελφοῦ πᾶν ὅ τι καὶ θέλοι τῆς ἀρχῆς ἀπολαύων καὶ κομιζόμενος. ἐκείνων ἅπας καὶ τὸ βασιλικὸν ἀπεθαύμαζε καὶ τὸ φιλάδελφον ἐμακάριζεν.

Ἐς γὰρ τἀληθὲς εἰπεῖν, οὐ τοσοῦτον ἦρχον ἐκεῖνοι τῶν ὑπηκόων ὅσον ἀλλήλων ἑκάτεροι, ἀδελφοὶ τὰς γνώμας ἀδελφοὶ τὰς ψυχὰς ἀδελφοὶ τὰ φρονήματα, τοσοῦτον ἐκεῖνοι φιλαδελφίαν ἐφίλησαν καὶ οὕτως ὑπὸ φιλαδελφίας ἐξεφιλήθησαν. ἀδελφὸς οὖν ἑκάτερος ἑκατέρῳ καὶ πρό γε τἀδελφοῦ νῦν μὲν βασιλεὺς νῦν δ᾽ ὑπήκοος, νῦν μὲν ὑπέταττε νῦν δ᾽ ὑπέκυπτε, καὶ τῶν μὲν ἄλλων ἐκράτουν τῷ μεγέθει τῆς ἀρχῆς, ἀλλήλων δὲ τῇ γνώμῃ καὶ τῷ βουλεύματι.

Ὦ πόσους ἐκεῖνοι κακοὺς κακῶς ἀπορραγέντας πρὸς τὴν τῶν Ῥωμαίων αὖθις ἐπανήγαγον ὁλομέλειαν. ὢ πόσους τοὺς ἀποστάτας, ὢ πόσους τοὺς μισοχρίστους καὶ τοὺς μισοβασιλεῖς καὶ διὰ ταῦτα διχοστασίαν ἐκμελετήσαντας ἔκφυλον καὶ πρὸ τοῦ κράτους καὶ μετὰ τὸ κράτος καὶ γνώμῃ κατεστρατήγησαν καὶ ὅπλοις εἷλον καὶ στρατεύμασι ἐχειρώσαντο.

Ἀλλ᾿ οὐχ οὕτως, ὦ μακάριοι βασιλεῖς, ταῦτα ὑμῶν ἐγὼ τέθηπα, οὐχ οὕτως ὑμᾶς ἐγὼ τῆς στρατηγίας ταύτης ἐθαύμασα, ὡς ἐφ᾿ οἷς, καὶ πρὸ τοῦ τῆς βασιλείας ὕψους καὶ μετὰ τὴν πορφύραν τὴν πολύζηλον τὴν μυριοφθόνητον, κατεστρατηγήσατε τὸν πρῶτον ἀποστάτην τὸν μέγαν δράκοντα τὸν τῆς ἀποστασίας πατέρα τὸν τῆς μισαδελφίας ἀρχέγονον.

Τοῦτο ὑμῶν τὸ τρόπαιον πολὺ τῶν ἐν πολέμοις κάλλιον, οὗτος ὑμῶν ὁ στέφανος μακρῷ τῶν ἀφ᾿ αἱμάτων καὶ ὅπλων θαυμασιώτερος. ἐκεῖ πρὸς ὁπλίτας ὁρατοὺς ὁ πόλεμος, ἐκεῖ πρὸς ὁπλίτας αἰσθητοὺς ἡ παράταξις· καὶ ὡρᾶτε τοὺς δυσμενεῖς, καὶ ὁρῶντες ἐβάλλετε καὶ βάλλοντες ηὐστοχεῖτε καὶ τὸ ὅλον ἀντιπάλους ἄνδρας ἀπηλέγχετε· ἐνταῦθα δὲ καὶ ὁ βάλλων οὐχ ὁρᾶται καὶ ὁ πόλεμος ὑποκλέπτεται καὶ τὰ βέλη καὶ μὴ βλεπόμενα πέτανται. ἐκείνου καὶ Κάιν ἥττηται καὶ Ἄβελ πέπτωκε, δι᾿ ἐκείνου καὶ ποιμένες διεπληκτίσαντο καὶ Λὼτ ἐξ Ἀβραὰμ ἀπῳκίζετο· ἀλλ᾿ ἐφ᾿ ὑμῖν ὁ παλαμναῖος κατεστρατήγηται, καὶ ταῦτα ὡς ἀπὸ φιλαρχίας καὶ ἀπὸ πορφύρας τῶν ἀφύκτων ἐκείνων καὶ πρώτων ἐκείνου βελῶν καὶ βάλλων καὶ σκευωρούμενος.

411v] Τίνες ταῦτα Νεμετορίδαι, τίνες ταῦτα | Διόσκουροι; οἱ μὲν μήτε τύχην λαχόντες ἐπίφθονον καὶ παρὰ τοῦτο μηδὲ φθονήσαντες· οἱ δέ γε τῆς Ῥώμης ἐκείνης γενάρχαι τε καὶ προπάτορες, ἀλλ᾿ ἔτι ταφρεύοντες ὡς ἀπὸ μικρᾶς τῆς ὕλης καὶ τῆς ἀφορμῆς μέγαν ʽὑπεξέκαυσαν πόλεμονʼ, καὶ γέγονε τὰ τῆς ἀποικίας οὐκ ἀνθρωποτροφίας ἀλλ᾿ ἀνθρωποφθορίας προοίμια. ἀλλ᾿ ἐνταῦθα τὰ μὲν τῆς τύχης καὶ τῆς ἀρχῆς εἴπερ τι τῶν ὄντων ἐπίφθονα, τὸ δὲ τοῦ φθόνου στυγνὸν ἀπεστύγναζε, φιλαδελφία δὲ περιεχόρευε τὰ βασίλεια, καὶ δορυφόρος εἵπετο τούτοις ἀδελφική τις ὁμόνοια, ὑφ᾿ ἧς καὶ μία γεγόνεσαν ξύμπνοια, τοῖς αὐτοῖς χαίροντες τὸν αὐτὸν ἄγχοντες καί (ὅ φησί τις τῶν ποιητῶν) ὁμόφρονα ζυγὸν ἕλκοντες.

Ταῦτα ἐγώ σου τοὺς γενάρχας θαυμάσομαι, ταῦτα ἐπικροτήσω καὶ 8
παιανίσομαι. ὁ δ᾿ ἄλλος ἱερὸς οὗτος χορὸς κατ᾿ ἄλλο ἄλλο τι τῆς πατρίου

σοι ἀρετῆς ἐπιθειαζέτωσαν καὶ τὴν πορφύραν τῷ λόγῳ ξυνεπιχρωννύτωσαν τελεώτερον.

Ἀλλὰ γὰρ οἷον τὸν λόφον ἐνθένδε π ρ ο σ α ν α τ ρ έ χ ο μ ε ν. ὡς ἀπὸ Καυκάσου τὰ τοῦ λοιποῦ σοι γένους ὑπερανέκυψε· τοσοῦτον ἐπῆρταί σοι τὸ πρὸς μητρὸς εὐγενὲς καὶ οὕτω πάσης γυναικείας ἄνθης ὑπερανέλαμψεν, ὁπόσα τῶν λοιπῶν ὀρέων ὁ Καύκασος.

Ἐγὼ δέ – ἀλλά μοι ὁ λόγος, ὁ ἐμὸς Προμηθεύς, ὡς ἐπὶ Καυκάσου πανταχόθεν ἐπισταυροῦται καὶ κατὰ τὸ ἰσόρροπον περιελκόμενος οἷον πεπέδηται. τί γὰρ καὶ θαυμάσεται πρότερον, τὸ μέγα τοῦ ἔθνους ἢ τὸ τοῦ γένους ἐπίσημον; Ἀλανοὶ τὸ ἔθνος, ἡ μήτηρ βασίλισσα καὶ ὡς Ἀλανοῖς ἀρχαιόπλουτος.

Ὑπὸ δὴ τούτῳ τῷ μεγάλῳ Καυκάσῳ τὸ μέγα τοῦτο φῦλον καὶ μυριόφυλον βόσκεται, Χριστοῦ φαίην ἂν ἔγωγε ποίμνιον καὶ Σκυθῶν ἀπαρχὴν καὶ Καυκάσου πρωτόλειον· καὶ τὸ φῦλον ὑπὲρ τοὺς Καύκωνας φιλοπόλεμοι. κἂν ἴδῃς τὸ πλῆθος, οὐκέτι τὴν ἀνδρίαν ἐπιζητήσεις· κἂν ἐπιγνοίης ὅπως ἀρετῆς ἔχουσι τὰ πολέμια, εἰς λήθην πεσεῖταί σοι τὸ μυρίανδρον· ἃ μὲν γὰρ τῶν ἐθνῶν ὑπερβάλλει τὴν πολυπλήθειαν, ἃ δὲ τὴν ἀλκὴν καὶ τὸ πρὸς μάχας ἐμπειροπόλεμον, πάντων δ' ἐπὶ πᾶσι κεκράτηκε καὶ Χριστῷ μόνῳ δουλεύει. τοῖς γὰρ ἐκείνου παναγέσι λόγοις ἐζώγρηνται, καὶ νῦν ἀπὸ τῆς αὐτῆς ἡμῖν ἁγιστείας, ἀπὸ τῆς αὐτῆς Χριστωνυμίας ἐπονομάζεται, καὶ χαίρει Χριστοῦ δοῦλον καλούμενον καὶ τοῖς ἀπὸ Χριστοῦ καλουμένοις ὑπόσπονδόν τε καὶ φίλιον.

9 Τοιοῦτον εὐανθῆ μίτον τῇ πατρῴᾳ πορφύρᾳ θεός σοι ἐπέκλωσε, καὶ φέρεις τὸ εὔδαιμον ἑκατέρωθεν, μητρόθεν τὰ πρῶτα τοῦ πρώτου γένους αὐχήματα, πατρόθεν καὶ τῶν ἀνέκαθεν τὰ τῆς Ῥωμαίων πορφύρας σεμνολογήματα. ἀπὸ τοιαύτης τῆς κληματίδος, ἣν Χριστὸς μὲν ἐφύτευσεν ὁ δέ σοι πατὴρ κατὰ τὴν ἱερὰν ἐκείνην ἄμπελον καὶ μετῆρε κοσμίως καὶ μετεφύτευσε κοσμιώτερον, ὁ γλυκὺς αὐτὸς βότρυς ἀνέβλαστες ὅλος πορφυρίζων ὅλος γλεύκους καὶ μέλιτος.

Ἔτι γάρ σοι τὰ τῆς ἡλικίας ἀπέπαντα· ἔδει γάρ οἶμαί σε, ὡς ἀπὸ πρώτου τῶν πρώτων ἐθνῶν καὶ γενῶν ἀπανθίσματος καὶ πηξάμενον καὶ λαχόντα τὴν γένεσιν, τοῖς πᾶσιν ἀγαθοῖς ἐπανθεῖν, καὶ ὅλον σοι τὸ καλὸν ἀπροσκλινὲς εἶναι καὶ πάγιον, ὁποῖα καὶ παρὰ τοῦ μεγάλου καὶ πρώτου σώματος οἱ τὰ τοιαῦτά φασιν ἐνθεάζοντες. ὡς γὰρ ἐκ τοῦ τῶν στοιχείων ἄνθους

412] ἀκράτου λαχὸν ἐκεῖνο τὴν | σύμπηξιν, ⟨ἔδει⟩ εὖ μὲν ὥρας ἔχειν καὶ μὴ ῥυτιδοῦσθαι τῷ χρόνῳ, εὖ δὲ κοῦφον εἶναι καὶ τῷ βάρει μὴ βιάζεσθαι τὴν καθαίρεσιν.

Ἀλλ' οὕτω μέν σοι φαεννὰν κρηπῖδα τὴν πρώτην γονὴν ὁ τοῦ σοῦ γένους ἀρχιτέκτων προκαταβέβληται, τὸ δ' ἐντεῦθεν ἀγωνιῶ καὶ πέφρικα καὶ ὡς ἐν μεταιχμίῳ παλμοῦμαι, καὶ ἡδονῆς ὅλος γίνομαι καί μοι τοῦ λόγου καὶ φοβεῖται τὸ χαῖρον καὶ ἥδεται τὸ φοβούμενον. ἱκανῶς μοι τοὺς ὀφθαλμοὺς κατήστραψε τὰ ὑπέρθυρα, οὐκ ὀλίγον μοι ʽτοῦ λόγουʼ τὸ πρόσωπον περιέλαμψε ʽτὰ προαύλιαʼ· εἶδον τοῦ ναοῦ τὰ προπύλαια καὶ τεθάμβημαι, εἶδον τοῦ βασιλικοῦ σκύμνου τοὺς ὄνυχας καὶ πεφόβημαι.

Νῦν δ' ἀλλά μοι ὅλος ὁ νεὼς εἰς ὄψιν ἀνέῳγε καὶ τὸ θαῦμα ὅσον, ὡς καλὰ 10
μέν σοι, ὦ ναὲ Χριστοῦ, καὶ τὰ πρόθυρα· καὶ τεθαύμακα· ἀλλ' οὐδὲν ἧττον ἀξιοθαύμαστα καὶ τὰ ἔνδον· καὶ τέθηπα.

Ἐπὶ χρυσαῖς κίοσι χρυσοῦν ἐπήξω τὸν ὄροφον καὶ τῷ γενέσθαι καλῶς καὶ τὸ τραφῆναι προσέθηκας, ὡς μηδὲν εἶναι καθ' ὁπότερον ἐνδοιάσαι τις. ἀλλά σοι ξυνανέφυ καὶ ξυνανέδραμεν ὁ τοῦ καλοῦ βλαστὸς ἀμφιθαλής τε καὶ ἀμφιδέξιος, καὶ οὔτε σοι τὰ τοῦ γένους ἐξ ἀγενοῦς τροφῆς κατερρύπανται οὔτ' αὖ σοι τὰ τῆς τροφῆς τὸ τῆς γονῆς ἀθαύμαστον ἐταπείνωσεν.

Ἄλλων ταῦτα, τῶν ἑτεροφθάλμων τῶν ἑτεροπόδων, οἷς ἢ τὸ ἐπίσημον οὐχὶ πάτριον ἢ τὰ τῆς γνώμης ἀπαιδαγώγητα· σὺ δ' ἀλλ' ἐξ ἁπαλῆς τῆς ἡλικίας καὶ πρώτης, ὅ φασιν, τῆς τριχὸς τὴν βασίλειον ἐτρέφου τροφὴν καὶ παντοδαπὸν εἶχες τὸ παιδαγώγημα· τὴν ψυχὴν ἐρρυθμίζου πρὸς ἅπαν ὅ τι καὶ βέλτιον, τὸ σῶμα ποικίλον εἶχέ σοι τὸ γυμνάσιον.

Νῦν μὲν τοὺς πόδας εἰς τάχος ἐκούφιζες ἢ καθ' ἵππων ἐφήλλου μετέωρος, νῦν δ' αὖ τόξον εἷλκες ἔφιππος καὶ τὰς χεῖρας παντοίως συνεκρότου πρὸς παράταξιν καὶ βάλλειν εὔστοχα καὶ ἀκοντίζειν ἐπίσκοπα. εἴ σέ ποτέ τις εἶδε [τὸν] κέλητα ⟨κατὰ⟩ νόμον ἐφιππασάμενον, οὐκ ἂν εἶναι καὶ Κενταύρους ἠπίστησε φύσιν ἱππάνθρωπον· εἴ σε τόξον ἐντείνοντα, καὶ Γρατιανοῦ πάντως ἂν ἐφθέγξατο τοξικώτερον, καὶ τῶν ἐκείνου βελῶν τὰς φρένας προσαφελὼν τοῖς σοῖς ἂν ἐδίδου τοξεύμασιν· εἰ δὲ καὶ τὴν ἐνόπλιον ἐπορχούμενον, εἰ δὲ καὶ τὸ πολέμιον καταδορατίζοντα, εἶπεν ἂν ὡς ἐν ὅπλοις καὶ Μηριόνου ὀρχηστικώτερον.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/41 UNIVERSITÄT LEIPZIG

11 *Τὰ δὲ τῆς ψυχῆς — ἀλλὰ τίς ἂν λόγος ἐξίκοιτο; εἶχες ἀνδρίας μὲν τὸ περὶ φόβους δυσέκπληκτον καὶ τὸ ʽπερὶ κινδύνους εὔτολμονʼ καὶ φιλόνεικον, δικαιοσύνης δὲ τὸ περὶ τὰς διανεμήσεις ἐπιεικῶς ἀνάλογον καὶ τῆς ἐλευθεριότητος τὸ ἀδάπανον καὶ τοῦ θυμοειδοῦς τὸ ἀόργητον. καὶ μάχης μὲν τοῦτό σοι τὸ θηρίον πολλοὺς τῶν δυσμενῶν ἐξελάφυσσε καὶ θὴρ ἦσθα τοῖς ἀλλοφύλοις ὁ χαλεπώτατος. ἀλλʼ ὅτε σοι κρατὴρ εἰρήνης ἐσπένδετο καὶ οὐ προσεπαταγεῖτο ʽτὸ ἐνυάλιονʼ, οὐκέτι σὺ ὁ θὴρ ἐκεῖνος ὁ φιλοπόλεμος ὁ φιλαίματος, ἀλλʼ ὁ μειλίχιος ὁ εἰρηναῖος ὁ φίλιος· καὶ οὔτε σοι τὸ σμικρόλυπον ἐπεπήδησε πώποτε οὔτʼ αὖθις τὸ μεγαλόδικον ὑπεκάθητο (ἐπεὶ καὶ τοῦτο μονονοὺ θηριόψυχον κἀκεῖνο τοὐναντίον μικρόψυχον), ἀλλʼ ἐφύλαττες ἐν τῷ μισοπονήρῳ τὸ μέτριον καί σοι οὐδὲν ὑπῆν ἔγκοτον καὶ μνησίκακον.*

*Τὸ δὲ τῆς μορφῆς ἐπιεικὲς τῷ τῆς ψυχῆς μεγαλοπρεπεῖ συνεκέρασας, | ὡς μήτε τοῦτο παντελῶς εἶναι περίφοβον μήτʼ ἐκεῖνο παντελῶς αὖθις* 412v] *ἀνέκπληκτον, ἐπεὶ καὶ τοῦτο εὐκαταφρόνητον κἀκεῖνο δυσέντευκτον. ἡ δέ σοι χεὶρ ποταμὸς ἦν ἐκεῖνος ὁ ʽχρυσορρόας ὁ Πακτωλὸςʼ καὶ πενήτων πρυτανεῖον ἀδάπανον. ἀλλὰ τοῦτό γε τὸ μέρος τῆς εὐφημίας ἐσύστερον, ὅτε καὶ λέγειν πρεπωδέστερον τῷ λόγῳ, τηρήσομεν· ὁπότε τοῦ πλούτου τὸ πᾶν αὐτὸς ἀπεταμιεύσω τοῖς ἀνεστίοις τοῖς πένησι, τὸ τηνικαῦτά σοι καὶ ἡμεῖς ἀποταμιευσόμεθα τὸ ἐγκώμιον.*

12 *Εἰ δὲ καὶ ʽσοφοὶ τύραννοι ταῖς σοφῶν ξυνουσίαιςʼ, ἔστι σοι καὶ τοῦτο τὸ σεμνολόγημα. ὁ γάρ σοι πατὴρ Ἀκαδημίαν ἑτέραν καὶ Περίπατον μικροῦ δεῖν ἔθηκε τὰ βασίλεια, κἀντεῦθεν ἐγγύθεν σοι τἀγαθὸν καὶ ὡς ʽἀφʼ ἑστίαςʼ ἐπεχωρίαζε καὶ ὁ τῆς σοφίας ποταμὸς οὐκ ἔστιν ὅτε οὐκ ἐπʼ οἴκου σου ἐπεπλήμμυρε. σὺ δὲ καὶ τοῦ κρατῆρος ἡδέως ἔσπας καὶ τοῦ τῆς σοφίας γλεύκους εἰς κόρον ἔπινες καὶ τὴν καλὴν βακχείαν ἀνεβακχεύθης καὶ γέγονας τοῖς λόγοις ὡς καὶ τοῖς ὅπλοις ⟨καλός⟩, καλὴν ἀποσῴζων τῷ πατρὶ τὴν ἐμφέρειαν, οὕτω σου καὶ ἡ χεὶρ ἐπὶ μάχης ἠκόνητο καὶ ἡ γλῶττα ἐς τὸ δημηγορεῖν ἐστόμωτο. τοιοῦτόν που τὸν Ἀπόλλωνα γράφουσι Δήλιοι καὶ ὡς μουσικὸν ἐπιθειάζουσι καὶ ὡς τοξότην θαυμάζουσι.*

*Σὺ δʼ, ἅτε πανταχόθεν ʽτοῖς τῶν ἀρετῶν στοιχείοις καλλιγραφούμενοςʼ καὶ μηδὲν ὅ τι τῶν πατρίων ἐκδιαιτώμενος, οὔτε τὸ πολεμικὸν παρεῖδες*

ἀλόγιστον καὶ τὸ λογικὸν οὐ παρῆκας ἀπόλεμον, ἀλλ' ὅπλοις μὲν τοὺς λόγους ὠχύρωσας, λόγοις δὲ τὰ ὅπλα ἐκόσμησας.

Ἐκόσμει μέν σοι καὶ ἡ κόρυς τὴν κεφαλὴν καὶ τἆλλα ὅσα κατὰ τὴν ποίησιν 'ῥύεται κάρη θαλερῶν αἰζηῶν', ἀλλ' οὐχ ἥκιστα καὶ ὁ λόγος καὶ τἆλλα τῆς τοῦ νοῦ κεφαλῆς φυλακτήρια. ἔσκεπέ σοι καὶ ὁ χρυσοῦς θώραξ τὸν θώρακα, ἀλλ' ἐθωρακίζου μᾶλλον τῷ λόγῳ καὶ τοῖς βουλεύμασιν, ἅ σοι ὡς ἀπὸ πηγῆς τοῦ θώρακος ὑπανέβλυζεν. ὅθεν καὶ κατὰ τὸν Πλάτωνα ταῖς Χάρισιν ἔθυες, μᾶλλον δὲ καὶ Στυγνότησι τὸ χάριεν προσεπέστυφες καὶ τὸ στυγνὸν τῷ χαρίεντι κατεγλύκαινες, καὶ ἧς Ἀριστοτέλους μὲν στυγνότερος Ἀναξάρχου δὲ χαριέστερος.

**13** Μέγας Φωκίων ἐκεῖνος ὁ παλαιὸς ὁ Ἀθήνηθεν, ἀλλ' εἰ μὴ τοπροτοῦ κατελήστευε· θαυμαστὸς Ἀλκιβιάδης, ἀλλ' εἰ μὴ τὴν φύσιν ἀκόλαστος· περιθρύλλητος ὁ Νεοκλέους, ἀλλ' εἰ μὴ πρὸς πατρὸς ἀποκήρυκτος, ἀλλ' εἰ μὴ φυγὰς ἐς Πέρσας ἐσύστερον· νῦν δ' ἀλλὰ τὸ καλὸν ἀκραιφνὲς οὐκ ἐτήρησαν καὶ ξυνεπιθολοῦσι τοῖς προτέροις τὰ δεύτερα.

Οἷς γὰρ ἐπ' οὐ καλοῖς τὸ πολὺ τῆς ἡλικίας παρίππευσε, τούτοις τὴν πλείω μοῖραν ἀφαιρεῖται τοῦ θαύματος· σοὶ δ' ἀλλ' οὐκ ἔστιν ὅπη τοῦ σώματος ἢ τῆς ψυχῆς κηλίς τις ἢ σπίλος ὁστισοῦν ἐγκατέστικτο, ἀλλὰ καὶ τὸ τῆς νεότητος ἐτήρησας ἄνθος ἀλώβητον καὶ μετὰ τοῦ παιδὸς καὶ τὸν ἄνδρα τοῖς θαυμασιωτέροις τῶν ἔργων ἐπέστεψας· καὶ σοὶ τῆς ἡλικίας οὔτε τὸ ἁπαλὸν εὔθρυπτον οὔτε τὸ ἔπακμον αὔθαδες, ἀλλ' ὡς ἐπὶ καλῷ τῷ ἄνθει θαυμασίαν καὶ τὴν ὀπώραν ἀνέβλαστες.

**14** Ἀλλ' ἔδει σοί ποτε καὶ νόμον ἀρχῆς ἐννόμου δοθῆναι, καὶ δέδοσαι. καί σοι τὸ φιλυπήκοον ἔτι καὶ νῦν ἄγανται Χάλυβες καὶ τὸ φιλοπόλεμον αὖθις πεφόβηνται ὁπόσον τότε σοι παρεγειτόνησε βάρβαρον, ὁπότε οὐ μᾶλλον παρὰ τῆς ἀρχῆς ἐπεδείκνυσο ἢ τὴν ἀρχὴν ἐπεδείκνυς αὐτὸς ἐννομώτατος, ὡς μήτε τὸν Βίαντα διαπεσεῖν τοῦ γνωμολογήματος καὶ τὸν Ἐπαμεινώνδαν ἐκεῖνον τὸν Θήβηθεν ἄμεινον δοκεῖν γνωμολογεῖν τὸ ἀντίστροφον. κόσμος 413] ἦτε ἀλλήλοις | τὸ θαυμασιώτατον, καὶ σὲ μὲν ἐκείνη τοῖς τοῦ ἄρχειν παρασήμοις ἐπέστεφε, σὺ δ' ἐκείνην τοῖς νόμοις ἀντιπεριέστεφες κάλλιον.

**15** Ἀλλὰ γὰρ ἐνταῦθά σοι τοῦ λέγειν τὸ χαριέστατον. καί μοι καὶ νοῦν καὶ ἀκοὴν καὶ διάνοιαν, ὦ ἄνδρες, ἀποχαρίσασθε· καὶ προσεκτέον ὡς ἡδί-

στῳ τῷ διηγήματι. τάχα με οἴεσθε ὡς ἀπὸ τοιαύτης ἀρχῆς χρυσὸν ἡμῖν ἐπιτραγῳδήσειν καὶ λίθον καὶ μάργαρον καὶ εἴ τι ἄλλο τῆς ὕλης περίβλεπτον.

Ἄπαγε σμικρὰ ταῦτα καὶ τοῖς κάτω καὶ περὶ τὴν ὕλην συρομένοις καὶ φίλα καὶ τίμια. ἀλλ᾽ ἔχω πλοῦτον ἕτερον παρὰ πολὺ βελτίω καὶ θαυμάσαι καὶ διηγήσασθαι. τίς ὁ πλοῦτος, ἡλίκον τὸ θαῦμα, ὁποῖον τὸ διήγημα, μᾶλλον δὲ τὸ τοῦ διηγήματος ἥδιστον; ἐφιλοπλούτησε τὴν καλὴν φιλοπλουτίαν, ἀλλ᾽ οὐχ ἣν ὁ Παῦλος ὡς ‘εἰδωλολατρίαν’ μετὰ Χριστοῦ κολάζει καὶ τίθεται. ἤκουσε τοῦ Χριστοῦ νομοθετοῦντος καὶ λέγοντος ‘γίνεσθε οἰκτίρμονες’, ἵν᾽ ὅμοιοι τῷ ἐν οὐρανοῖς ὑμῶν πατρὶ γένησθε, καὶ μέντοι καὶ γέγονε καὶ ὑπήκουσεν ‘ἐσκόρπισεν’ ἐκένωσεν ‘ἔδωκεν’.

Οὐκ ἐφειλκύσατο τοῦτον οὐ χρυσὸς οὐκ ἄργυρος, οὐκ ἐσθὴς εὐανθὴς καὶ διαρρέουσα, οὐ μαργάρων στιλπνότης, οὐ λίθων διαύγεια· ἀλλ᾽ ἐχαρίσατο πάντα τοῖς πένησι καὶ δι᾽ αὐτῶν τῷ Χριστῷ τῷ τὴν ἡμετέραν σάρκα πτωχεύσαντι καὶ πλουτήσαντι· ἔθρεψε γαστέρας πενήτων καὶ δι᾽ ἐκείνων ⟨τὸν⟩ τὸν ἐν ἐρήμῳ καὶ φυγάδα λαὸν ἀπ᾽ οὐρανοῦ θρέψαντα καὶ κορέσαντα.

Ὢ καλῆς ἐμπορίας, ὢ πλούτου μὴ ῥέοντος, ᾧ καὶ προστίθεσθαι τὴν καρδίαν Δαυὶδ ὁ μέγας ἡμᾶς ἐξεπαίδευσε, ‘πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθαι καρδίαν’ μεγαλοφώνως διατεινόμενος. δίδωσι ἐσθῆτα τὴν φθειρομένην τὴν ῥέουσαν, καὶ χιτῶνα λεπτὸν ἀθανασίας κομίζεται τὸν ‘ἄνωθεν ὑφαντόν’, ὃν θεοῦ δάκτυλοι ἐμηρύσαντο· δίδωσι μαργάρους, τούτους δὴ τοὺς ἀπὸ κόχλων, καὶ δέχεται ‘μαργαρίτην ἕνα’, τὸν ἐν εὐαγγελίοις τὸν μέγαν τὸν ‘πολυτίμητον’, ὃν ὁ τῆς οὐρανῶν βασιλείας ἔμπορος ἀποδοὺς πάντα ὅσα εἶχεν ἐπρίατο· δίδωσι λίθους τοὺς ἀπὸ γῆς τοὺς τιμίους, ὅσοις καὶ τὸ τίμιον ἔνυλον καὶ τὸ ἔνυλον τίμιον, καὶ πλουτεῖ ‘λίθον’ ἕνα, τὸν ὡς ἀληθῶς καὶ ὑπὲρ τὸ πᾶν τίμιον, τὸν ἐξ οὐρανοῦ τὸν ἀπὸ τοῦ πατρὸς τὸν ἀκρόγωνον, ᾧ καὶ πρὸς οὗ καὶ νῦν ὁπλιζόμενος πολλὰς πολλάκις δαιμόνων κεφαλὰς ἀπήραξε καὶ συνέθλασεν.

16 Ὡς καλή σου ἡ τῆς ἀρχῆς πρόοδος, ὡς θαυμαστή σου ἡ ἐκεῖθεν ἐπὶ τὰ κρείττω ἀνάβασις. ἀνῆλθες, ἀνέδραμες ἀπὸ τῶν ἐνύλων ἐπὶ τὰ ἄυλα, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ ἀθέατα, ἀπὸ τῶν ῥεόντων ἐπὶ τὰ ἑστῶτα καὶ μένοντα. παρεῖδες τὴν γῆν καὶ ὅσα τῆς γῆς, καὶ πρὸς οὐρανὸν ἀνέπτης καὶ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/44 UNIVERSITÄT LEIPZIG

*γέγονας ὅλος οὐράνιος· ἄγγελον ἐγώ σε μετὰ σώματος τίθεμαι. ἔζησας τῷ Χριστῷ καὶ τῷ κόσμῳ νενέκρωσαι· ἀπέρριψας τὸν πλοῦτον καὶ ὅσαι κῆρες τῷ πλούτῳ σύμφυτοι, καὶ πέφηνας φιλόθεος οὐ φιλόπλουτος.*

*Ὢ ψυχῆς φιλοθέου, ὢ γνώμης ἀφιλοπλούτου. ὅλον ἔθνος εἶχες ὑπόφορον καὶ τὴν ἀρχὴν οὐ κατεσπάθας· ἀλλ' ἦν σοι τρυφὴ τὸ φιλόπτωχον καί, δασμοφορεῖν τῷ κάτω βασιλεῖ τεταγμένος, αὐτὸς καρποφορεῖς τῷ ἐν οὐρανοῖς βασιλεύοντι, πρῶτα μὲν τὸν πλοῦτον εἶτα καὶ ὅλον σεαυτόν.*

*'Τὸ καινότατον', 'θέατρον' ἐγένου τότε κοινὸν 'καὶ ἀγγέλοις καὶ ἀνθρώποις', καὶ τὰ τοῦ Παύλου ἐπὶ σοὶ τῷ ἐμῷ Παύλῳ νεανιεύσομαι· ἄγγελοι μὲν ὡς ἀπ' οὐρανοῦ τὴν καλὴν ἅμιλλαν ἁμιλλωμένῳ καὶ τὸν τοῦ Παύλου δρόμον ἀνύοντι προσεπεκρότουν καὶ προσεπήλειφον, οἳ σὲ καὶ μέχρι νῦν ἐπαλείφουσιν· ὁ δέ σοι μέγας ἀθλοθέτης καὶ σταδιάρχης ἔπνει* 413v] *καὶ προσεπέτεινε τὸ φιλόθεον | καὶ πρὸς τὸ ἆθλον παρώρμα καὶ προσεπέθηγε. καὶ τοῦτο δὴ τὸ τῆς ποιήσεως 'σπεύδοντα καὶ αὐτὸν' ὤτρυνεν, ἐφ' οὗ καὶ τοῖς ἀγγέλοις ἐντέλλεται περὶ σοῦ. οἳ δέ σοι τῆς ὁδοῦ τοὺς ὄχθους ἐξομαλίζουσι, καὶ καταλεαίνουσιν ὅσον πρὸς ἀρετῆς ἀνάβασιν ὀλισθηρὸν καὶ ἀπότομον, οἳ δέ σε καὶ ἐπὶ χειρῶν αἴρουσι καὶ θέεις ἀπνευστὶ καὶ βαδίζεις ἀπρόσκοπος καὶ τρέχεις μετάρσιος· καὶ δέχεταί σε θεός, ὁ καὶ τὸν ἆθλον θέμενος καὶ δούς σοι τὸ ἔπαθλον ὡς δεκτὸν καλλιέρημα ὡς τέλειον ὁλοκαύτωμα, ὡς πορφύρας ἀπαρχὴν ὡς τῆς πρώτης γονῆς ἀκροθίνιον.*

*Ὅσον θαῦμα τὴν ὅλην οὐσίαν ἀποδοῦναι, καὶ ταύτην οὕτω λαμπρὰν καὶ βαθύπλουτον, ὅσῳ θαυμασιώτερον καὶ σεαυτὸν προσαποδοῦναι καὶ καλλιερῆσαι θεῷ.*

*Ἥκει δ' ἡμῖν ὁ λόγος ἐπ' αὐτὸ τὸ κεφάλαιον, μᾶλλον δὲ καὶ προειπόντες* 17
*ἔφθημεν, καὶ λελήθαμεν προαρπάσαντες τὸ διήγημα, ὡς 'οἱ λίχνοι τῶν δαιτυμόνων' τὰ καλὰ τῶν σιτίων μηδ' ἀναμείναντες τὸ συσσίτιον. ἵετο μὲν οὖν ὡς ἄρξων ἐπὶ τὸ μέγα ἔθνος τοὺς Χάλυβας καὶ προσδόκιμος ἦν τοῖς πολλοῖς, ὅσοι τῷ ἑαυτῶν μέτρῳ τὰ τῶν ἄλλων σταθμῶνται, ἐκεῖθεν ἐπανήξειν ὡς ἀπὸ μεγάλης ἀρχῆς πολυχρήματος πολυτάλαντος· ἀλλ' ἔψευσε κἀκείνους τῆς ἐλπίδος καὶ τὴν κοινὴν ἐλπίδα τὸν θεὸν οὐκ ἐψεύσατο.*

*Πόρον εὑρών, οὐκ ἠβουλήθη πορίσασθαι, καὶ χρημάτων προκειμένων*

οὐκ ἠθέλησε χρηματίσασθαι. ἀλλ᾽ ὅτε δὴ τοῖς πολλοῖς ἐπίδοξος ἦν ἐπικτήσασθαι, τότε καὶ τὰ ἐνόντα προσαπεκτήσατο· καὶ κατὰ τὸν πλούσιον ἐκεῖνον τὸν πορισμὸν οὐκ ἐστύγνασεν, ἀλλ᾽ ἀκούσας τοῦ σωτῆρος τὰ προσόντα πωλῆσαι καὶ πτωχοῖς ἀποδοῦναι, μηδὲν ἐπιστυγνάσας, πρὸς ἔργον ἠπείγετο· καὶ τοῖς λοιποῖς τοῦ σωτῆρος θεσπίσμασι καὶ τοῦτον τὸν νόμον οἷα δή τινα ʽκολοφῶνα ἐπέθηκεʼ, τοσοῦτον ἐδέησεν ⟨τὰ ἑαυτοῦ⟩ ἐκδαπανῆσαι καὶ καλαμήσασθαι τὸ ὑπήκοον. ὁ γὰρ τὰ ἑαυτοῦ καταπροέμενος, ἐφ᾽ οἷς πλουτεῖν εἶχεν ἀνεύθυνα, σχολῇ γ᾽ ἂν οὗτος τὰ τῶν ἄλλων ἀφέλοιτο.

18 Οὐκ ἐπαινῶ Κράτητα τὸ πολὺ τῆς οὐσίας καταποντώσαντα, ἀλλ᾽ οὐδ᾽ Ἀναξαγόραν τὸν Κλαζομένιον τὴν οἰκίαν ἀνέντα μηλόβοτον· τῷ μὲν γὰρ κἂν ἔχοι τις ἐγκαλεῖν φθονοῦντος ὑπόνοιαν, τοῦ δὲ τὸ ἀφιλοχρήματον οὐ φιλάνθρωπον. ἀλλ᾽ ἐπαινῶ τὸν Ἀριστείδην τὸν Ἀθηναῖον, ἀλλ᾽ ἐπαινῶ τὸν Πέρσην τὸν Κῦρον, ὅτι καὶ πρὸς ἀνθρώπους ἀμφοῖν τὸ φιλάνθρωπον, τὸν μὲν ὡς ὅλην Ἑλλάδα δασμοφορῶν ἐπανῆλθε πενέστερος, τὸν δ᾽ ὡς βασιλέα φιλοτιμότατον καὶ βασιλέων φιλοδωρότατον.

Ἀλλ᾽ ὡς πρὸς σέ μοι καὶ Ἀριστείδης οὐ πάνυ τι δίκαιος· τί γάρ; καὶ τὸ παράπαν ἐφείσατο καὶ μὴ πάντη πένης ἐκ τῆς δασμοφορίας ἀνέζευξεν, εἴ γε καθαρῶς καλεῖσθαι δίκαιος ἐδικαίωσεν. ὁ δ᾽ αὖ Κῦρος ἐκεῖνος καὶ ἄλλως μὲν πολυδωρότατος ὁ ἀνήρ, τὸ δὲ μέγα τούτου καὶ περιθρύλλητον ὡς, ἐπειδή ποτε πολλῆς εὐπορήσειεν ἐσθῆτος, τὰς ἁπάσας τῷ κύκλῳ τῶν δορυφορούντων ἀπένειμεν ἀστειότατος, προσεπιγνωματεύσας ὡς· «οὕτως ἐφ᾽ ἑνὶ σώματι πολλὰς ἐγὼ περιβαλοῦμαι καὶ καλλωπίσομαι». τοῦτο δὴ θαυμαστὸν μέν (καὶ πῶς γὰρ οὔ;), πλὴν ἀλλ᾽ ὁπόσα καὶ Πέρσην ἄν τις θαυμάσαιτο, τὸ δὲ σὸν τότε κατόρθωμα καὶ νῦν ἐμὸν ἐγκαλλώπισμα καὶ διήγημα.

Μίαν μὲν αὐτὸς ἐνέδυς στολήν· τίνα δὲ ταύτην; αὐτὸν δηλαδὴ τὸν Χριστὸν τὸν τὴν ἡμετέραν σάρκα καὶ σώσαντα καὶ φορέσαντα, τὰ δ᾽ ἄλλα

414] σοι καὶ ἡ ἐσθὴς καὶ ὁ χρυσὸς | καὶ ὁ λοιπὸς ὄλβος τοῖς τὰ τοιαῦτα διψῶσι προσαπονέμεται καὶ προπέποται.

Ἀλλὰ γάρ, ἐπειδὴ σύ τε σαυτῷ τοῖς ἔργοις καὶ ἡμεῖς τῷ λόγῳ τοιαύτην 19
τὴν νοητὴν στολὴν ἐξυφήναμεν, φέρε δὴ καὶ τὰ ἔξωθεν ἄμφια περιεργότερον ἐποψόμεθα.

Καὶ δὴ βλέπω σου τὴν στολὴν ὡς ἀπὸ καπνοῦ μελαινομένην καὶ τὸν τοῦ θείου πόθου πυρσὸν ἐπὶ καρδίας τεκμαίρομαι· ὁρῶ τὸν γνόφον καὶ τὸ Σίναιον ἐπ᾽ ὀφθαλμοῖς ἔχειν οἴομαι καὶ τὸν ἁπτόμενον τῶν ὀρέων καὶ καπνίζοντα κατὰ τὴν γραφὴν ἐπιδεδημηκέναι σοι καὶ ξυνεῖναι μαντεύομαι. ʿαὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστουʾ, τοῦτό σοι τὸ μέλαν ὑπὲρ χιόνα τὰ ἔνδον ἐλεύκανε· καὶ νῦν λευκὸς ὢν τὴν ψυχὴν ἐπιχρωννύεις τὸ σῶμα τῷ μέλανι καὶ περικαλύπτεις τῷ ἐλύτρῳ τὸν μάργαρον.

Ἐγὼ σοὶ καὶ τὰ τοῦ Δαυὶδ ᾄσομαι καὶ τὰ τοῦ Σολομῶντος προσᾴσομαι, ὡς καλή σου ἡ ψυχή, κἂν τὰ ἄμφια μεμελάνωται (ʿκαλὴʾ γὰρ ἡ τοῦ Χριστοῦ νύμφη, κἂν ʿμέλαιναʾ), ὡς περίδοξος τὸ νοούμενον, κἂν ἠδόξηκε τὸ φαινόμενον.

Ἐπεὶ καὶ ʿπᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθενʾ, τὸν πλοῦτον ἀπέπτυσας, τὸ τῶν ἄλλων ἀρχόντων τῆς σκηνῆς προσωπεῖον ἀπέρριψας καί, τὸ δὴ μεῖζον, ἔλυσας ἃ φύσις ἀλύτως συνέδησε, καὶ νενίκηκας τὰ ἀνίκητα καὶ κατετροπώσω τὰ πᾶσιν ἀπρόσμαχα. ἀπεκολλήθης τῆς γυναικός, ἥν σοι θεσμὸς ἔδησε φύσεως καὶ νόμος ἠγάγετο καὶ συνήθεια πολυετὴς εἰς ἓν ἦθος ξυνεκεράσατο. καὶ παραυτίκα συνεκολλήθης Χριστῷ, καὶ νῦν ἀληθῶς ᾄδεις μετὰ Δαυίδ· ʿἐκολλήθη ἡ ψυχή μου ὀπίσω σουʾ. καὶ διαζευχθεὶς μακαριωτάτου τέλους ἂν εἴποι τις μόνῳ Χριστῷ συνέζευξαι, καὶ τῇ πάντων κεφαλῇ συνηρμολογήθης οἷά τι τῶν μελῶν ἐντιμότατον.

Καὶ παῖδας γνησίους ὁ πατὴρ παριδὼν γνήσιος παῖς τοῦ κοινοῦ πατρὸς ἀναπέφηνας· καί σου ῥομφαία τὴν ψυχὴν οὐ διήρχετο, ἀλλ᾽ ἔφερες ἀλλ᾽ ἐκαρτέρεις ἀλλ᾽ ἔστεργες τὴν διάστασιν.

Τί οὖν; ἐπεὶ τῶν μελῶν αὐτόβουλος ἀποκέκοψαι, καὶ τὸν μοναχὸν ἐσεβά- 20
σθης καὶ τὸν σεβαστὸν οὐκ ἐμελάνωσας μέν, ἀλλ᾽ ἐπὶ μᾶλλον ἐλάμπρυνας; ἆρα διεψεύσω τὴν πρόθεσιν καί σέ τις τρυφὴ περιέθρυψεν ἢ ἐσθὴς ἐμαλάκισεν ἢ χρυσὸς κατέθελξεν; πολλοῦ γε καὶ δεῖ.

Οὐ γὰρ οὕτω σοι εὐόλισθα τῆς ψυχῆς τὰ θεμέλια οὐδὲ κατὰ τὸν ἐν

εὐαγγελίοις ἄφρονα μικραῖς ψαμμίσι καὶ ὑπὸ μικρῶν παρασυρομέναις τὴν οἰκίαν ἐπίστευσας, ἀλλ' ἐπ' ἀρραγοῦς τῆς πέτρας (ἡ δὲ ἦν ὁ Χριστός) ἐπήξω τὴν οἴκησιν, ἣν οὔτε κυμάτων ἐπιρροαὶ κατακλύζουσιν οὔτε πνευμάτων ἐπιδρομαὶ περιτρέπουσιν· ἐφ' ἧς καὶ νῦν ἀπερικλόνητος ἕστηκας, κάτω μὲν τὸ σῶμα περιπολῶν ἄνω δὲ τὴν ψυχὴν τοῖς τοῦ νοῦ κινήμασιν ἀναρτώμενος.

Καί σοι 'τὸ αὔταρκες καὶ σχολαστικὸν καὶ ἄτρυτον' ὑπὲρ ἄνθρωπον, καὶ βίον ἄγεις τὸν ὄντως εὐδαίμονα καὶ μακάριον, οὐ τὸν σμικροπρεπῆ καὶ ζῳώδη τοῦτον καὶ σάρκινον, ἀλλ' ἐπὶ τὴν πρώτην καὶ θείαν ἐκείνην ἀνατρέχεις ἔμπνοιαν καὶ τὸν 'ἀνδριάντα' τοῦτον παρατρέχεις τὸν πήλινον. οὐ γὰρ ὅτι θνητὸς εἶ τὸ σῶμα, διὰ τοῦτο καὶ τὴν φρόνησιν τέθνηκας, ἀλλ' ἀναστρέφεις τοῖς οὕτως ἐρεσχελοῦσι τὰ ἀγνωμάτευτα καὶ τὸ σοφὸν ἐκείνοις ἀπελέγχων ὡς ἄσοφον τὸ θνητὸν παιδαγωγεῖς ὡς ἀθάνατον.

Εἰ γὰρ καὶ σμικρὸν ἡμῖν τὸ θεῖον κατά γε τὸν ὄγκον ἐνέστακται, ἀλλ' ὑπέρμεγα τούτῳ τὸ κράτιστον καὶ οὐκ ὀλίγον τὸ τίμιον. | ἐντεῦθέν 414v] σοι τὸ θνητὸν ἀπαθανατίζεται καὶ τὸ χεῖρον ὑπείκει τῷ κρείττονι καὶ δουλεύει τὸ σῶμα τῷ πνεύματι καὶ τὸ τοῦ νοῦ ῥόδον τὰς τῶν παθῶν εὐωδιάζει μᾶλλον ἀκάνθας, ἀλλ' οὐχ ὑπ' ἐκείνων ἐξακανθοῦται παραπνιγόμενον.

Ἐντεῦθέν σοι καὶ 'πῦρ' ἐν τῇ τῶν θείων μελέτῃ λογίων 'ἐκκέκαυται', εἴτ' οὖν τοῦτο τὸ πρὸς μαθήσεις συνεργὸν καὶ κατ' αἴσθησιν καὶ φαῖνον 'πρόσκαιρα' καὶ φαινόμενον, εἴτε καὶ θάτερον λέγειν ἐθέλει τις, ὃ καὶ ζωπυρεῖσθαι καὶ λέγεσθαι βέλτιον, τὸ τοῦ πόθου δηλαδὴ περὶ τὴν ἱερὰν γραφὴν ἔμπυρον, ὅθεν σοι κἂν ταῖς προσευχαῖς καὶ τὸ νηφάλιον ὡς ἄυπνον καὶ τὸ στάσιμον ὡς ἀσώματον, μᾶλλον δὲ καὶ τὸ ἐγρηγορὸς ἔνθεον καὶ τὸ ὑπνηλὸν οὐκ ἀνίερον.

Ἐκεῖθέν σοι κατὰ ποταμοὺς ἡ γλῶσσα ἔρρευσε καὶ τὸ νᾶμα πολύκρουνον· καὶ νῦν ὁρῶ σε πυκνόν τι καὶ τεττιγῶδες ἐπιτροχάζοντα, καὶ τὸν ὡς ἐν γνόφῳ νυκτός σοι προσομιλήσαντα καὶ στομώσαντα ἐκεῖνον εἶναι τὸν καὶ γλώσσας πυρὸς ἀπ' οὐρανοῦ τοῖς μαθηταῖς ἐπαφιέντα πείθομαι καὶ προσίεμαι.

21 Εὖ οἶδ' ὅτι ποθεῖτε μαθεῖν καὶ τὸ τοῦ ἀνδρός, μᾶλλον δὲ περὶ τὸν ἄνδρα θαυμάσιον. ἐγὼ δ' ἀλλὰ τὸ τῆς ὄψεως ἔννυχον καὶ μυστηριῶδες ὡς ὑπὸ

*φωτὶ τῷ λόγῳ προθήσομαι καὶ κοινώσομαι· σὺ δ' ἀλλά μοι συγγνωμονοίης καὶ τῷ καύσωνι τῆς ἡμέρας μὴ συγκαιόμενος καὶ τῷ σκότῳ τῆς ἑσπέρας μὴ συγκρυπτόμενος, καί μοι δὸς ἔκφορα τὰ τοῦ μυστηρίου προθεῖναι καὶ διηγήσασθαι. ναὶ μὴ φθονήσῃς τοῦ λόγου, μὴ πρὸς τοῦ λόγου, μηδ' ἐπίσχῃς τοῦ θαύματος, ἀλλ' ἔα καὶ θαυμαστωθῆναι τὸ ἀξιοθαύμαστον καὶ τιμηθῆναι τὸ ἀξιότιμον καὶ λεχθῆναι τὸ ἀξιόλεκτον.*

*Ἤδη μὲν ὁ κοινὸς ὀφθαλμὸς ὁ μέγας οὗτος φωστὴρ ὑπὸ γῆν κατεδύετο, σοὶ δ' ἀλλ' ὁ νοητὸς καὶ ἄδυτος ἐπηύγαζε τὴν ψυχήν, καὶ λευκός τις ἄλλος ὑπανέτελλεν ἥλιος· ἔνθ' ἄλλοι μὲν πάντες 'εὗδον παννύχιοι', σὲ 'δ' οὐκ εἶχε νήδυμος ὕπνος', ἀλλ' ἐκάμπτου τὸ σύμπαν σῶμα θεῷ, καὶ πρό γε τοῦ σώματος τὴν διάνοιαν. τὸ δέ σοι εὐκταῖον καὶ σοφισθῆναι θεόθεν τὰ θεῖα καὶ προσεμπνευσθῆναι τὰ τῆς γραφῆς ἀπὸ τοῦ τὴν γραφὴν δεδωκότος τὰ πρῶτα καὶ προσεμπνεύσαντος.*

*Τί οὖν ὁ τῶν θαυμασίων θεός; ὁ καὶ Μωυσῇ πάλαι δοὺς τὰς 'πλάκας' τὸ δεύτερον καὶ Δαυὶδ ἐμπνεύσας, ὡς καὶ προγνῶναι καὶ προθεσπίσαι τὰ μήπω βλεπόμενα, καὶ ἄνδρας ἁλιεῖς εἰς μαθητείαν καὶ προσλαβόμενος καὶ σοφίσας ταῖς πυρίναις γλώσσαις τοῦ πνεύματος. ὁ δέ σοι γλῶτταν μὲν πυρὸς οὐκ ἔπνευσε τῷ δὲ τοῦ πνεύματος πυρὶ τὴν γλῶτταν ἐστόμωσε, καὶ πλάκας μὲν οὐκ ἐπέδωκε ταῖς δὲ τῆς καρδίας πλαξὶ τὴν ὅλην ἱερὰν σοφίαν ἐπέγραψε.*

*Πῶς καὶ τίνα τρόπον οὕτω σοι θαμινὰ κρυπτομένῳ νυκτὸς μέσης εἰς προσευχὴν καὶ ὕπνος τὸ σῶμα ἐπέκαμψε; θεῖον οἶμαί τι χρῆμα καὶ γνόφος ἂν εἴποι τις τῆς μελλούσης ἐπιπνοίας ὄργανον. ἐδόκει δὴ ταῦτα θεῷ καὶ γίνεσθαι, καὶ 'θεῖός σοι ἐνύπνιος ἦλθεν ὄνειρος', οὐχ ὁ πύρινος, ἀλλ' ἡ χρυσῆ γλῶττα καὶ ὡς ἐν πυρὶ καθαρθεῖσα τῷ πνεύματι. οἴδατε τὸν τὴν γλῶσσαν χρυσοῦν καὶ ὡς ἀπὸ χρυσίτιδος πηγῆς τῆς γλώττης πολλὰ τῆς γραφῆς ἀποστάζοντα ψήγματα· 'στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς' καί σου τὴν ἱερὰν κορυφὴν ἱεροῖς κατέψα δακτύλοις καὶ περιεπύκνου πανταχόθεν καὶ τὴν ὅλην κεφαλὴν ἐς τὸ συνεχὲς καὶ περιηγμένον οἷον μετέπλαττεν, ὡς μὴ*
415] *διαρρεῖν ἐκεῖθεν καὶ | διασκίδνασθαι τὰ νοήματα.*

*Ταῦτ' ἦν καὶ τὰ τῆς ὁράσεως διελύετο· 'ὕπνος δ' ἀπέπτη γλυκύθυμος ὀμμάτων' καὶ ἡ ὡς ἐν ὕπνοις δόκησις 'οὐκ ὄναρ ἦν, ἀλλ' ὕπαρ' καὶ φαινόμενον καὶ γιγνόμενον· καὶ σὺ μὲν ἔπνεις ὁποῖον τοὺς ἐνθεάζοντας ᾄδου-*

*σιν, ἡ δὲ γλῶττα ὡς ὑπὸ θεοῦ κυβερνωμένη καὶ κινουμένη πέλαγος ἦν τῆς γραφῆς ἀνεξάντλητον.*

*Καὶ ὡς ἡ θάλαττα πελαγίζουσα μυριόκρουνα ἔρρει τὰ νάματα, καὶ ὁ τῶν νοημάτων ἑσμὸς ὡς μέγα τι χρῆμα καὶ ὡς ἀμύθητον εἶχέ σοι τὸ ἐπιβλύζον τοῦ στόματος· καί τι τοῦ Χρυσορρόα καὶ ὡς ἀπὸ χρυσοῦ κατελάμπετο, ἵν' ὁ τὸν κρουνὸν ἰδὼν ἐπὶ τὴν πρώτην ἀναδράμῃ πηγὴν καὶ γνοίη τὸ θαῦμα καὶ τὴν τοῦ καλοῦ προχοήν, καὶ τὸ μέλι μετὰ καὶ τῆς μελίττης θαυμάσηται· οὕτω σοι ἐκεῖνος ἐπὶ τὸ χρύσεον τὴν γλῶτταν ἐμεταλλούργησεν, οὕτω καὶ ἡμέρας προσανέχεις θεῷ καὶ νυκτὸς θεῷ καὶ τοῖς ἐκείνου μαθηταῖς καὶ φίλοις γίνῃ ξυνόμιλος, καὶ οὔποτέ σου οὐδὲν χρειῶδές τι ἢ πρόσγειον τῆς ἀρρήτου καὶ ὑψηλῆς ταύτης ὁμιλίας ἀπέσπασε καὶ κατέσπασεν.*

**22** *ʽἈγαθὸνʼ μὲν ʽκαὶ νυκτὶ πιθέσθαιʼ, ἀλλ' ἡμεῖς σάρκινοι καὶ πειθόμεθα, σὺ δ' ὅλην ἀπεξύσω τὴν λεβηρίδα τῷ στενῷ τοῦ βίου καὶ τεθλιμμένῳ. καὶ μὴ τοῦτ' ἄρ' ἦν ἐκεῖνο τὸ τοῦ κυρίου παράγγελμα· ʽγίνεσθε φρόνιμοι ὡσεὶ ὄφιςʼ; ἐς τί γοῦν δεήσει καὶ καθευδῆσαι; ἵνα τυχὸν τὸ δέρμα συσφίγξῃς καὶ τὸ σῶμα τονώσῃς, ὁ τὶς ταῦτα ὁ θνητὸς καὶ θνητοῦ σώματος, ὁ ἔχων δέρμα καὶ κρέας, ὃ ⟨καί⟩ με θεὸς ἐνέδυσε, μᾶλλον δὲ ὁ προπάτωρ καὶ ἡ ἐκείνου ʽπαράβασιςʼ;*

*Σοὶ μὲν οὖν καὶ τὸ σῶμα ἡγίασται καὶ τὸ θνητὸν ἀπηθανάτισται, μενοῦνγέ σοι καὶ ὁ ʽδερμάτινος χιτὼνʼ μετημφίασται καὶ τὰ κρεῦλλια προσαπέρρευσε, καὶ οὐκέτι σοι οὐδὲν παραβασιλέως λείψανον λείπεται. τί γὰρ καὶ λελείψεται; τὸ ποῖον; ὃ σὺ τρυφῶν ἐλιπάνθης, ἀλλ' ὅ σοι οὐκ ἐδαπάνησαν οἱ νύκτωρ πόνοι οἱ μεθ' ἡμέραν οἱ κατὰ διηνέκειαν οἱ κατὰ συνέχειαν, ἀλλ' ὅ σοι ⟨οὐ⟩ στρωμνή τις ἁπαλὴ καὶ ἐπὶ τάπητος ἁλουργοῦς ἀνέπαυσε καὶ κατέκλινε; τί σοι τοσοῦτον ὃ μὴ μοναχικὴ παχύτης ἀπέξεσε;*

*Διὰ σὲ μὲν οὖν (τολμήσω γάρ τι καὶ νεανικώτερον) καὶ Δαυὶδ ἐκεῖνος διέψευσται καὶ ὡς ἐπὶ τούτοις διαψευσάμενος χαίρει καὶ τὸ ψεῦδος οὐκ ἤλγησεν· οὐδὲ γὰρ οὐδὲ ʽβραχύ τι παρ' ἀγγέλουςʼ ἠλάττωσαι, ὡς καὶ νῦν ἔχειν εὐκαίρως ᾄδειν αὐτὸν ὡς πάλαι, τῷ μεγαλείῳ τῆς σῆς ἀρετῆς ἐξεστηκότα καὶ δεινῶς ἀγάμενον· ʽἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· πᾶς ἄνθρωπος ψεύστηςʼ· μᾶλλον μὲν οὖν κἀκεῖνος ὡς ἐπ' ἀνθρώποις σάρκα*

*καὶ ὀστέα ἔχουσιν οὐ διέψευσται, καὶ σὺ μετὰ τῆς ἐκείνου γνώμης καὶ τὸν ἄνθρωπον ὑπεραναβέβηκας καὶ τὸν ἐν σώματι κεκρυμμένον παρενέφηνας ἄγγελον.*

*Ὡς ἔμελλες, ὦ καὶ τὸ τῆς σαρκὸς πάχος ἄπορε καὶ τὸ τοῦ πνεύματος βάθος εὔπορε, καὶ τὸ τοῖς σοφοῖς ἄπορον διαλύσασθαι καὶ τύπον τοῖς ἄλλοις ἡμῖν ὑποτυπῶσαι καὶ ἀρχέτυπον πίνακα, ὅπως ἄρα καὶ τὸ τοῦ βίου ξύμπαν ἔνεργον ἡμῖν εἴη καὶ ζώσιμον, καὶ ζησόμεθα, οὐκ ἐξ ἡμισείας, ὡς ὁ μῦθος τοὺς ἐκ Διὸς ἑτερημέρους καταστέρους Λάκωνας βούλεται· ἢ γὰρ ἐς τὸ παντελὲς ἀυπνήσομεν καὶ τὸ εὔδαιμον ἐπιτείνομεν, ὁποῖον τοῦτο τὸ πρῶτον καὶ σόν, ὦ μακάριε, ἢ τό γε δεύτερον, ἀλλὰ καὶ τοῦτο σὸν καὶ τῆς σῆς μακαριότητος, κἂν ὑπνήσωμεν οὐ τεθνηξόμεθα, κἂν καθευδήσωμεν οὐκ ἀκηδεμονεύσομεν, ἀλλὰ θεὸν ὀψόμεθα, ἀλλὰ τὰ ἐκείνου κάλλη ἐνοπτρισόμεθα.*

415v] *Οὕτως ἁπανταχόθεν βιώσομεν καὶ | πάντη πάντως εὐδαιμονήσομεν καὶ διοίσομεν τῶν κακοδαιμόνων καὶ ὑπνοῦντες καὶ νήφοντες, ὥς σύ γε, καὶ νήφων μακρὰ τῆς νυκτὸς καὶ τὴν φύσιν παραβιαζόμενος ἐς τὸ ἄυπνον καὶ τελέως ἀκάματον, ἔχοις ἂν εὐλόγως εἰπεῖν· ʽεἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβʼ.*

*Ὡς καὶ τότε μικρὸν ἀυπνήσας εὗρες τῷ θεῷ σκήνωμα σεαυτὸν ὅλον ἱερούμενον ὅλον ἀποθεούμενον· καὶ αὖθις τὸ τῆς ταπεινώσεως τοῦτο σῶμα διαναπαύων καὶ ὕπνῳ μετρίῳ διδούς, ἵνα μὴ λάθῃ πάντη ἀπειρηκὸς καὶ γένηται πρὸς ἀρετὴν οὐκ ἀνύσιμόν τι καὶ τελεσιουργὸν ὄργανον, ἐπεὶ καὶ τόξον ἐκλύεται συνεχῶς ἐντεινόμενον, ἐκεῖνο τῆς γραφῆς προσεπᾴσεις ἂν δικαιότατα· ʽἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖʼ. οὕτω σὺ καὶ ὑπνῶν καὶ ἀυπνῶν ὅλος ἱερὸς ὅλος ἔνθεος καὶ γραφικοῦ μεστὸς ἁπανταχόθεν αὐχήματος.*

*Ἀλλʼ ἄγε δὴ μεταβῶμεν, εἰ δοκεῖ τῷ λόγῳ, καὶ ἄλλον κόσμον ἀείσομεν,* **23**
*[κόσμον] οὐ τὸν αἰσθητὸν τοῦτον καὶ κάτω, ἀλλʼ ὃν ἄγγελοι μὲν αἰδοῦνται καὶ ὅσα λειτουργικὰ τῶν πνευμάτων καὶ θεῷ μᾶλλον ἐγγίζοντα. τοῦτον σὺ τὸν κόσμον μετὰ τὸ τῆς μοναχικῆς προκαθάρσιον προσενδέδυσαι καὶ κεκόσμησαι, καὶ γίνῃ καὶ τοῦτο τὸ μέρος ζηλωτὴς τοῦ Χριστοῦ καὶ*

προσφέρεις τὸ δῶρον παντὸς κόσμου καθάρσιον καὶ θύεις τὸν ἀμνὸν πασῶν ψυχῶν ἱλαστήριον.

Ἂν ἴδω σου τὴν ἱερατικὴν ταύτην στολήν, καὶ τῆς παλαιᾶς ἐκείνης ξυνορῶ τὰ σύμβολα καὶ ξυνίημι τὸν ποδήρη χιτῶνα τοὺς ῥοΐσκους τοὺς κώδωνας· καὶ φέρεις ἔξω μὲν ἐπὶ σώματος τὴν νόμοις καθάπαξ καὶ γραφαῖς ὁσίαις καθοσιωθεῖσαν ἐσθῆτα, ἐπὶ δὲ ψυχῆς ὅσα τοῦ γράμματος καὶ τῆς ἐκείνου σκιᾶς τὰ διάσημα· ποδήρης μέν σοι χιτὼν ἡ ἀπὸ τῆς ἄκρας τοῦ νοῦ κεφαλῆς ἀρετὴ καὶ σκέπουσα καὶ διήκουσα, ῥοΐσκοι δὲ τοῦ βίου τὸ στῦφον καὶ ὅσον ὑπότραχυ, τὸ δέ σοι τῆς ἀρετῆς ἀξιάγαστον καὶ τὸ τῆς φήμης ὑπέρφημον κώδωνες ἂν εἶεν πάντα περιηχοῦντες τοῦ κόσμου τὰ πέρατα.

Ἂν ἴδω σε τὴν παναγῆ καὶ θείαν ἱεροτελεστίαν καθαγιστεύοντα, ὁρῶ καὶ Σαμουὴλ τὸ ὄρθιον καὶ Ἀαρὼν τὸ ἀκριβῶς ἱερατικὸν καὶ σεμνόν· τότε δὴ τότε καὶ τὴν θεότευκτον σκηνὴν καὶ μεγάλην φαντάζομαι καὶ τὸν πόθον ἐκπομπεύω καὶ σιγῇ φέρειν οὐκ ἔχω τὸν ἔρωτα. εἶχον ἂν τότε καὶ τὰ τοῦ Δαυὶδ προσεπᾷσαί σοι ἐπικαιρότατα· 'κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων'.

24 Ἀλλ' οὐκ ἔμελλες ὁ ἐμὸς Ἀαρὼν μὴ τῷ μεγάλῳ καὶ νέῳ Μωσεῖ καὶ ξυνέπεσθαι καὶ συμποδηγῆσαι τὸν νεοσύλλεκτον λαὸν κυρίου τὸν περιούσιον εἰς ἣν γῆν πάλαι μὲν θεὸς Ἀβραὰμ ἐπηγγείλατο, νῦν δ' ὑμεῖς τὸν νέον Ἰσραὴλ ὡδηγήσατε Ἀαρὼν καὶ Μωυσῆς, ἂν εἴποιμι, ὁ μὲν δουλούμενος ὅπλοις τὸ βάρβαρον, σὺ δ' ὡς ὅπλοις τοῖς ἱεροῖς βέλεσι βάλλων καὶ καταβάλλων καὶ θεῷ χειρούμενος καὶ φιλοθέῳ βασιλεῖ συγχειρούμενος.

Ὡς εὖγέ σοι τῆς ἀποδημίας, ὡς εὖγέ σοι τῆς καλῆς ταύτης πτήσεως, ἥν σε θεὸς ἐπτέρωσε καὶ τὸ πνεῦμα συνεπτερύξατο. ὡς ἐγώ σου καὶ τὸ ἐπίδημον ἀποθειάζω καὶ τὸ ἀπόδημον σέβομαι· βαβαὶ ὅσον σὺ φιλοβασιλεὺς καὶ φιλόχριστος καὶ τῆς τοῦ Χριστοῦ κληρονομίας ὑπερκαιόμενος· βαβαὶ πηλίκον σοι διὰ ταῦτα καὶ τὸ εὔζωνον.

Ἐγὼ καὶ μόνον | ὡς ἐν γράμμασιν ἀκούω καὶ πεφόβημαι τὰ 'ὕψη' τὰ 416] 'ἄορνα', τὰς 'πέτρας' τὰς 'ἀτοξεύτους', τὴν ὁδὸν τὴν οὐχ ἱππήλατον, ἀλλὰ

*δυσέμβολον καὶ δυσίατον· εἶτά σοι οὐ πάλαι τὸ περὶ μάχας καὶ πολέμους φιλότιμον καταλέλυται· εἶτά σοι οὐ πάλαι τὸ στρατεύσιμον ἀπολέλυται. τίς οὖν ὁ μόχθος, τίς ἡ σπουδὴ καὶ τί σοι τὰ τῆς στρατείας ἠβούλετο; οἱ μοναχοὶ πάντες ἐπὶ τῆς ἀμάχου ταύτης τῆς ἡμετέρας καὶ δρέπονται τὸ ἡσύχιον, σὺ δ', ὥσπερ δεδιὼς μή πού σέ τις καὶ ἀστρατείας γράψαιτο, ξυνεστράτευσας καὶ ξυνώδευσας ἀργαλέας ὁδοὺς καὶ μακρὰς καὶ ὧν μηδ' ἄν τις ἕτερος καὶ λόγῳ μόνον ἀνάσχοιτο.*

*Οὐκ ἤρκει σοι τὸ πρὸ τοῦ διὰ τὴν ἄκραν ἀρετὴν ὡς ἐν σώματι μοχθηρὸν καὶ πικρόβιον· οὐκ ἤρκει σοι τὸ καματηρὸν ὡς ἐν προσευχαῖς καὶ πολύπονον. τί οὖν καὶ πόνοις πόνους προσέθηκας τοῖς ἐπὶ τῆς οἰκείας τοὺς ἐπ' ἀλλοδαπῆς, τοῖς ἐπ' εἰρήνης τοὺς ἐπὶ μάχης; 'σχέτλιός ἐσσι, γεραιέ', καὶ μοναχῶν ἁπάντων ὁ φιλοπονώτατος, 'σὺ μὲν πόνου οὔποτε λήγοις'.*

*Τίς οὖν ὁ τῆς μακρᾶς ἐκείνης ὁδοιπορίας καρπὸς καὶ τίνα ἔχεις ἐκεῖθεν προσαπονάμενος; ὡς μυρία καὶ τὸν μοναχὸν ἐπιδεικνύντα τοῖς ἔργοις, οὐκ ἀπὸ μόνου τοῦ σχήματος· ὅτι μηδὲ τὰ μὲν τῆς ἐσθῆτός σου κατὰ τοὺς μοναχοὺς τὰ δὲ τῆς ψυχῆς κατὰ τὸν Ἐπίκουρον ἐσχημάτισται, ἀλλά σοι δευσοποιὸν καὶ εἰς βάθος ἐμπέφυκε τὸ μοναχικὸν καὶ ταλαίπωρον. ἐκεῖθέν σοι καὶ ὁ σύσκηνος ἐχθρὸς ἡ σὰρξ ἐς τὸ παντελὲς τεταπείνωται· ἀπὸ ταύτης τῆς ὁδοιπορίας καὶ οἱ πόδες ἐξησθενήκασι καὶ τῇ κεφαλῇ σοι μὴ ζυγομαχοῦντες ξυνέπονται· ἐκεῖθέν σοι τὸ τῆς γαστρὸς φορτίον κεκούφισται καὶ νῦν τὸ πρὶν ὀλιγόσιτον εἰς τὸ πάντη μικροῦ περιέστησας ἄσιτον.*

*Ἑώρας τοὺς ὁπλιτεύοντας, ὅπως περὶ τοῦ σφῶν ἐδεδίεσαν σώματος, καὶ περὶ τῆς ψυχῆς αὐτὸς ἐδεδίεις πολὺ δικαιότερον· ἑώρας ὅπως ἐκεῖνοι τὰς ὀμφαλόεσσας ἀσπίδας προβάλλονται καὶ τὰ βέλη φυλάττονται, καὶ ὀμφαλοῦ καὶ τῶν ὑπὸ γαστέρα κρατεῖν ἐπαιδεύου καί σοι τοῦτο ἦν ἀσπὶς ὀμφαλόεσσα καὶ 'τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα' διέπιπτεν ἄπρακτα· ἑώρας ὅπως ἐκεῖνοι περὶ τὴν κεφαλὴν περικεφαλαίαν καὶ κόρυθας τίθενται, καὶ τὴν τῶν ὅλων κεφαλὴν τὸν Χριστὸν κατὰ Παῦλον καὶ περικεφαλαίαν εἶχες καὶ κόρυθα.*

*Ἀλλ' ὁ μὲν νοητὸς ὁπλίτης καὶ κοινὸς ἀνθοπλίτης οὕτω καὶ δή σοι κατ-* **25**
*ετροποῦτο καὶ κατεβάλλετο· τὸ δ' ἄλλο πολέμιον ὅσον ἐν σώματι, ἀλλ' οὐδὲ τοῦτον σὺ τὸν πόλεμον ἄτεχνος οὐδ' ἀνάσκητος.*

*Ἐκεῖνος ἦς ὁ Μωυσῆς ὁ θεόπτης· ἐν προσευχαῖς αἴρεις τὰς χεῖρας καὶ καθαιρεῖς τὸ βάρβαρον ὁπόσον τοῦ πάλαι Ἀμαλὴκ ἐκείνου λείψανον καὶ ἀπόγονον. ἔκαμπτές σου τὸ γόνυ θεῷ, καὶ τὸ ἀλλόφυλον ἐπὶ γόνυ ἔπιπτε καὶ τῷ βασιλεῖ κατεπατεῖτο καὶ συνετρίβετο· μικρὸν εἰς προσευχὴν ἐκίνεις*

τὰ χείλη, καὶ πρὸς οἰμωγὰς ἀντεκίνουν ἐκεῖνοι καὶ οἰκτρὸν ἐτραγῴδουν τὰ ὕστατα.

Ἔστησας ἐκεῖ τότε τρόπαιον ὁλοσώματον, νίκην ἀναίμακτον', ἐπέθηκας ἧτταν ἀπότροπον, ὅλον ἐκαινούργησας πόλεμον. ὦ χεῖρες ἀναίμακτοι καὶ μὴ βλεπόμεναι βάλλουσαι, δι' ὧν Ῥωμαϊκὴ χεὶρ ἀνθρωπίνοις αἵμασιν ἐπαλάσσετο. ὦ πόδες τὸν τοῦ Παύλου δρόμον καὶ δραμόντες καὶ τρέχοντες, ὑφ' ὧν οἱ τῶν δυσμενῶν πόδες ξυνεπο|δίζοντο καὶ εἰς τοὔδαφος ὤκλαζον. 416v] ὦ στόμα ἱερὸν ἱερῶς ὑποψιθυρίζον καὶ ὑπᾷδον ἔνθεα, ὡς οὐκ ὀλίγα Χριστιανοῖς τὰ ξίφη ἐστόμωσας καὶ πολλὰς βαρβαρικῶν αἱμάτων πηγὰς ἀνεστόμωσας. ὦ γόνυ διὰ θεὸν καὶ θεῷ καμπτόμενον, ὡς πολλοὺς σὺ τῷ βασιλεῖ τοὺς τραχήλους ἀλλοφύλων ἔκαμψας. ὦ γαστὴρ φιλόσοφος καὶ τὴν δίαιταν αὐτοσχέδιος, ὡς πολλὰς καὶ βαρείας κατὰ βαρβάρου γαστρὸς λὰξ ἐδίδους ἐνάλλεσθαι.

Τί οὖν ὁ αὐτοκράτωρ ὁ μέγας ὁ τροπαιοῦχος ὁ νικητὴς ὁ τῶν πώποτε βασιλέων θεοειδέστατος; ἔγνω τὴν ἀκτῖνα ὁ ἥλιος, ὁ Μωυσῆς τὸν Ἀαρών, ὁ Ἀβραὰμ τὸν Μελχισεδὲκ τὸν τίμιον τὸν ἱερέα καὶ Χριστοῦ τοῦ πρώτου ἀρχιερέως ὑπογραμμόν. καὶ τὸν ἀδελφιδοῦν, ναὶ μὴν προσέτι καὶ τὸν ἀδελφόν, ἀλλοφύλου χειρὸς ἀπολυτρωσάμενος καὶ λαφυραγωγήσας καὶ καθελὼν τὸν πόλεμον, θύει μὲν ἄρτι 'τὰ ἐπινίκια' καὶ θύει χαρμοσύνην κοσμοσωτήριον, γνωρίζει δέ σε καὶ Μελχισεδὲκ ἐκείνου τοῦ παλαιοῦ μηδὲν τὰ πρὸς θεοσέβειαν ἀποδέοντα, καὶ ἀποδεκατοῖ σοι τὰ λάφυρα καὶ διά σου θεῷ τῷ τῆς νίκης προκαταβαλόντι τὰ σπέρματα ὡς ἀδάκρυτα καὶ τῶν τροπαίων χαρισαμένῳ τὰ δράγματα ὡς εὐφρόσυνα.

**26** Ἐντεῦθεν ἐστείλω τὴν μακαρίαν ἐκείνην πορείαν καὶ τῆς ἱερᾶς κατετρύφησας πόλεως. εἶδες 'γῆν' τὴν ἐπηγγελμένην τὴν 'μέλι καὶ γάλα ῥέουσαν', ἧς καὶ Μωυσῆς αὐτὸς ἀπηξίωτο· εἶδες γῆν οὐρανόν (θεὸς γὰρ ἐπὶ ταύτης ἐβάδισεν)· εἶδες γῆν, ἣν πόδες μὲν πραέων ἐπάτησαν, ἀλλὰ καὶ θεοῦ πόδες ὅλην ἡγίασαν. εἶδες γῆν ἄλλην Ἐδέμ, ἐφ' ἧς ὡς ἐν δειλινῷ τῷ τέλει τῶν αἰώνων περιπατήσας θεὸς τὸν Ἀδὰμ διὰ τὴν τοῦ καλοῦ γύμνωσιν καὶ τὴν ἐκ τῆς παρακοῆς αἰσχύνην κρυπτόμενον φιλανθρώπως ἀνεκαλέσατο· καὶ στολὴν θειοτέραν ἐνέδυσε, τοὺς ἐκείνου δερμα-

τίνους χιτῶνας, τὴν παχεῖαν ταύτην λέγω σάρκα καὶ ἀντίτυπον, αὐτὸς ἀμφιασάμενος καὶ οὕτως αὖθις ἀναπλάσας τὸν ἄνθρωπον. περιεπτύξω τὴν τοῦ σωτῆρος τροφὸν καὶ ὅσα ἐκείνου πάτρια, καὶ ἅ σοι ἐπὶ καρδίας ἐπυρσεύετο πρότερον ὁ σωτῆρος ὁ τάφος ὁ Γολγοθᾶ, ταῦτα σὺ καὶ ὡς ἐν ὄμμασι φαιδρότερον περιελάμφθης καὶ τὸ τοῦ πάθους ἐμπύριον ἐπὶ μᾶλλόν σοι ἀνεκάετο. ἀνέβης ἐπὶ τὸ ὄρος Θαβὼρ καί σοι τὸ πρόσωπον μετὰ τοῦ σωτῆρος ἀνέλαμψεν ἐνθεώτερον καὶ γίνῃ θεόπτης καὶ οὐδὲ τοῦτο σὺ τὸ μέρος Μωσέως ἀποφέρῃ τὰ δεύτερα· ἀνῆλθες ἐπὶ 'τὸ ὄρος τῶν Ἐλαιῶν' καὶ συνανελήφθης Χριστῷ τὴν διάνοιαν καὶ ὡς ἐπ' οὐρανὸν ἐφέρου τοῖς ἐνθεάσμασιν.

Ὅλον σὺ τὸν Χριστὸν ἔπνευσας, ὅλος σὺ τοῦ σωτῆρος κατοκώχιμος γέγονας. εὐηγγελίσω καὶ εἰρήνην ἐπὶ τούτοις καὶ ἀγαθὸν τῇ πόλει κυρίου Σιὼν καὶ ἀλλοφύλων ἀνταπόδοσιν καὶ Χριστιανῶν ἀπολύτρωσιν. ἔγνωσαν τότε καὶ δύναμιν ἀπὸ σοῦ καὶ τῆς σῆς γλώττης ἐξερχομένην οἱ τὸ τῆς τριάδος ἰσότιμον εἰς ἄνισα ταλαντεύοντες. καὶ νῦν διὰ σὲ καὶ θεὸς ἁπανταχοῦ τὸ πνεῦμα γινώσκεται καὶ κηρύσσεται, καὶ δέδωκας ἱεροὺς ἱερῶς τὸ ἱερὸν πατεῖν δάπεδον.

Ἀλλὰ διήγησαι καὶ ἡμῖν τὰ ἐκεῖσε θαυμάσια, κοίνωσαι καί τι τῶν ἀπορρήτων, μετάδος τῆς ἐλλάμψεως κοινώνησαι τῆς ἐμπνεύσεως. καταφιλοῦμέν σου τοὺς πόδας περιεργαζόμεθα τὰ ἴχνη, τὴν τῶν ποδῶν κόνιν ὡς ἱερὰν ταῖς κεφαλαῖς καταχέομεν, κατασπαζόμεθα τοὺς ὀφθαλμοὺς τὰς χεῖρας περιπτυσσόμεθα, τῶν ἱερῶν ῥακίων περικαιόμεθα.

Περιήγησαι τὰ τῶν προφητῶν τὰ τῶν ἀποστόλων τὰ τοῦ σωτῆρος. ποῦ δέ μοι γῆς Ἰορδάνης; ποῦ δέ μοι τοῦ πάλαι ναοῦ τὰ λείψανα, ἡ δὲ ἔρημος,
417] τὸ δὲ τοῦ ναοῦ | πτερύγιον, ἡ πεῖρα, τὰ θαύματα; μηδὲ φθονήσῃς τῆς θαλάσσης, ἐφ' ἧς Χριστὸς τοὺς πόδας ἐκούφιζεν.

Ἦ που, ὦ μακάριε, καὶ τοῦ ὕδατος ἔπιες, καὶ οὔ σοι ἄποτον ἔδοξε τὸ θαλάττιον, ἀλλ' ὑπὲρ τοὺς ἀνθοσμίας ἀλλ' ὑπὲρ τὸ Ὑμήττιον· οἱ γὰρ Χριστοῦ σοι πόδες τοῦτο τὸ ὕδωρ ἐξεμελίτωσαν. ἦ που καὶ τῶν ἰχθύων ἔφαγες καὶ τῷ Χριστῷ συνέφαγες. ἀπελούσω καὶ τοῦ Ἰορδάνου καὶ τοῦ σωτῆρος τὸ λουτρὸν ἐτίμησας.

Τοῦτο μὲν οὖν σοι καὶ οὐδ' ἀμφίβολον· ἐδίδαξας μετὰ τοῦ σωτῆρος ἐν

τῷ ναῷ, ἐπεχωρίασας τῇ ἐρήμῳ, ἐφιλοσόφησας τὸ τοῦ Ἰησοῦ ἐρημικὸν καὶ ἡσύχιον, περιεπτύξω τὸν λίθον θερμότερον, περιηγκαλίσω τὰ τοῦ σωτῆρος ἐντάφια καὶ ἡμερινὸς ὢν μαθητὴς τῷ διδασκάλῳ κρεῖττον ἐδωροφόρησας ἤπερ ὁ νυκτερινὸς ἐκεῖνος Νικόδημος· σμύρναν μὲν τὴν τοῦ σώματος νέκρωσιν, ἀλόην δὲ τὸ τῆς διαγωγῆς ὑπέρπικρον καὶ πολύπονον.

Τὸν δρόμον τετέλεκας, τὴν πίστιν τετήρηκας, λοιπὸν ἀπόκειταί σοι ὁ τοῦ Παύλου στέφανος.

27 Ἀλλ', ὦ λόγοι, θαρσεῖτε· νενικήκαμεν κἂν ἡττήμεθα, ἐπωφθαλμίσαμεν κἂν οὐκ ἠνέγκαμεν, ἠγωνισάμεθα κἂν οὐκ ἐκρατήσαμεν. θαρσεῖτε, μὴ δέδιτε· περιηυγάσθημεν κἂν οὐκ κατηυγάσθημεν. ὡς ἀπὸ Θαβὼρ ἡ ἀκτὶς ἔλαμψε· τούτου δὲ καὶ Πέτρος ὁ τῶν μαθητῶν πρόκριτος ἥττηται, ὡς ἀπὸ θεοπτίας ἄρτι περιλαμφθεὶς καταβέβηκε. κἂν οὐ καθαρῶς προσεβλέψαμεν, τὸν Μωυσῆν ἐκεῖνον οὐ προσεβλέψαμεν· κἂν ἐμύσαμεν, μετὰ καὶ τοῦ παντὸς Ἰσραὴλ τὰς ὄψεις ἐμύσαμεν. στερκτέον ἂν εἴη τοῦ προσώπου καὶ μόνου τὸ κάλυμμα.

Λοιπὸν ὑμῖν καὶ τὸν ἥλιον ἐνοπτρίσασθαι, ἀλλ' ὅπως μοι καὶ τότε τὸν λυγκέα φυλάξητε. κἂν 'ἀσκαρδαμυκτὶ' προσβλέψαι τὸν ἥλιον οὐ δυνήσεσθε, οἴσομεν ὅτι μηδὲ νῦν τὴν ἀκτῖνα.

## 3. IN IOANNEM COMNENVM IMPERATOREM

Utpote *λόγος ἐπιβατήριος* potius quam proprie vereque *βασιλικός* oratio multa in encomiis usitata vel omnino praeterit (laudes urbis ex. gr.) vel breviter fortuitoque perstringit (argumentum de *δυσεφίκτου*, cum antiquis comparationes al.), tota contra in ipsum imperatorem se convertit, praesertim in res ab eo gestas, quas ab anno c. 1120 usque ad annum 1138 persequitur. enumerationis duo sunt capita: bella in Occidenti contra Hungaros, Petzinacos, Serbos leviter tacta; militia in Cilicia atque Syria fusius exposita. huius quidem en ordine itinera: Ioannes C.poli profectus Pamphyliam transmeat navibus probabiliter Attalia attacta; multis Leonis Armenii insidiis vitatis Leoneque ipso acie superato Tarsum usque pervenit eamque post longam obsidionem irrumpit; dein adversum Pyramum flumen subit Anazarbam contendens, quam obsidione capit, tum ad meridiem se confert, Alexandria Minore aestate anni 1137 potitur; via Antiochiam versus iam aperta in itinere procedit urbemque illam famosissimam expugnat, Raimundum Pictaviensem eius principem dediticium sibi societate devincit, Isaacum fratrem eiusque filium Ioannem aliquot iam annos exsulantes convenit sibique reconciliat. aliis levibus proeliis primo an-

no 1138 in Cilicia pugnatis, vere eiusdem anni Byzantini atque Latini apud Antiochiam congregati ducibus Ioanne imperatore comitibusque Raimundo Pictaviensi et Ioscelino Hedesseno eius foederatis belli Arabici initium faciunt: civitates, quae sunt Bizaa, Beroea, Schaizar, in dicionem potestatemque Byzantini imperii denuo rediguntur; paulo post Ioannes Antiochiam revertitur a populo festive exceptus. at C. polis imperatoris triumpho Antiocheno invidet, eius adventum maiore magnificentioreque caeremonia celebrare gestit; orator quoque eum pro parte sua summo desiderio collaudare cupit (oratio non multo post habita).

## *Λόγος εἰς τὸν ἀοίδιμον βασιλέα κῦρ Ἰωάννην τὸν Κομνηνόν*

S 417] *Ὡς ἀσπαστὸς ἡμῖν ἥκεις, ὦ τῶν πάλαι βασιλέων θεοειδέστατε, ὡς* **1**
*ἡδὺς ὡς εὐκταῖος, ‘ὡς ἀσμένοισιν’ ἄσμενος. καὶ νῦν λευκὰς ἀκτῖνας ἐν οὐ ‘λευκαῖς’ ὁρῶμεν ‘ἡμέραις’, καὶ χειμῶνος ἐπὶ σοὶ καὶ τοῖς σοῖς τροπαίοις ἐνεαρίζομεν.*

*Τοσοῦτον ἔχεις τὸ φιλυπήκοον καὶ τοσοῦτον ἵμερον τοῖς ὑπηκόοις ἐνέσταξας· ἅμα τε γὰρ αὐτὸς ἐπὶ τὴν ἡγεμόνα πόλιν ταύτην καὶ ἡμετέραν ἐπανατέταλκας καὶ ἡμεῖς αὐτίκα πανηγυρίζομεν ἔνθεα καὶ χορείας ἱστῶμεν πανδήμους καὶ θέατρον συναγείρομεν, κατὰ γένη κατὰ φυλὰς κατὰ δήμους, ἀγαθοῦ βασιλέως ἀγαθὴν ἐπευφημοῦντες τὴν πρόοδον.*

*Οὐχ οὕτω Πέρσαι Κῦρον ἐθαύμασαν μετὰ τὴν τῶν Μήδων καθαίρεσιν καὶ Λυδῶν ἀπανάστασιν, οὐχ οὕτω μετὰ Τροίαν κειμένην Ἕλληνες Ἀγαμέμνονα, οὐχ | οὕτω Λάκωνες Ἡγησίλεων μετὰ τὰ ἐπ' Ἰωνίας τρόπαια καὶ τοῦ Ἑλλησπόντου κατάσχεσιν καὶ τῆς Ἑλλάδος ἀνόρθωσιν, ὡς νῦν ἡμεῖς ὅλοι κατάκρας ἔνθεοί τε ὄντες καὶ θεοφόρητοι, ὅλοι κατάκρως ἡδονῆς καὶ γήθους αἰχμάλωτοι θριαμβεύομεν ὡς οἷόν τε τὰ ἐπινίκια καὶ προσεπικροτοῦμεν τὰ εἰσιτήρια.*

*Οὐχ οὕτως ἡδὺς ‘οὐθ' ἑῷος οὐθ' ἕσπερος’, ὁπότε πρῶτα ‘παμφαίνησι λελουμένος ὠκεανοῖο’, κατὰ τὴν τῆς Καλλιόπης γλῶτταν καὶ τὸ ἐκείνης αὐτόνομον, ὡς αὐτός, ὦ βασιλεῦ, ὡς μὲν χαρίεις, ὡς δ' ἐπέραστος λαμπρὸς λαμπρῶς ἐξ ἕω ταῖς τῶν πόλεων ὑπηκόοις ἐπέλαμψας ὅλοις ὠκεανοῖς βαρβαρικῶν αἱμάτων ἐπινηξάμενος. τοιοῦτόν σοι τὸν ὠκεανὸν αὐτοσχεδιάζει τὸ ξίφος, τοιαύτας ἀναστομοῖ τὰς πηγάς· οὕτω τοὺς ὑπὲρ ἡμῶν*
417v] *ἱδρῶτας ἀπομοργνύμενος ἀστράπτεις | καὶ τὸ πεπονηκὸς ἐναποψύχεις τοῦ*

σώματος ἐπὶ φόνῳ βαρβάρων καὶ ʽλύθρῳ καὶ αἵματι᾽. τοῦτό σε τὸ λουτρὸν τίθησιν καὶ νῦν ἡμῖν, ὦ βασιλεῦ, καὶ ἀστέρων φαάντερον καὶ ἡλίου στιλπνότερον.

Ἐντεῦθέν σοι καὶ ὅλαι πόλεις τοῦ τῶν ἀνδραγαθημάτων κάλλους ἐρῶσαι φιλονεικοῦσιν εἰς κόρον ἐναπομάξεσθαι, καὶ καινός τις οὗτος ἀνέρρωγε πόλεμος, ὁποία ποτ᾽ ἂν μείζω πλεξαμένη τὸν στέφανον θερμότερον ἐπιδείξαιτό σοι τὸν ἔρωτα, καὶ σὲ τὸν μετὰ Χριστὸν τῆς Χριστοῦ κληρονομίας κεφαλὴν χρηματίσαντα προσεπικοσμήσῃ τοῖς ἐφυμνίοις καὶ ἀναδήσῃ τὸν σωτῆρα τὸν πολιέα τὸν αὐτοκράτορα.

2 Ἀεὶ μὲν οὖν ἀγέρωχόν τι χρῆμα σοφιστικὴ καὶ χαίρει θεάτροις καὶ κονίστρας ἐρᾷ καὶ βήματος γλίχεται· κἂν ἴδῃ που κάλλος ἔργων καὶ πραγμάτων ὥραν ἀμήχανον, εὐθὺς ἀτρεμεῖν οὐκ ἀνέχεται, ἀλλ᾽ ἐπαφῆκε τὴν γλῶτταν καὶ τὸ κάλλος τῆς φωνῆς ἐπιδείκνυται καὶ κατὰ τοὺς τῶν ζωγράφων χαριεστέρους οὓς μὲν τῶν πινάκων οὐκ ἀώρως ἔχοντας ἐπὶ τὸ κάλλιον ταχὺ μεθηρμόσατο οὓς δὲ καὶ οὐ πάνυ τι θαυμαστοὺς ὄντας τά γε εἰς ὥραν αὐτή που χαρίεντας ἐναπέγλυψε καὶ ὡραίους ἀπέξεσεν· ὅθεν καὶ κάλλος οὖν ψυχῆς τερατεύεται, καὶ οἷόν τις κεστὸς τῶν ἄλλων τεχνῶν ἐπαφρόδιτος.

Ἀλλὰ νῦν καὶ ἡ μεγάλαυχος αὕτη σοφιστικὴ σοὶ καὶ τοῖς σοῖς ἔργοις μετὰ Κελτῶν καταβέβληται, μετὰ Περσῶν τεταπείνωται, μετὰ Κιλίκων δεδούλωται· καὶ τῶν μὲν τὰς χεῖρας τοῖς ὅπλοις, ἡμῶν δὲ τὰς γλώττας μονονοὺ τοῖς ἔργοις περιηγκώνισας· ἕτερον τοῦτό σοι τρόπαιον ἐπὶ τροπαίοις, ὦ αὐτοκράτορ, καὶ νίκη τις ἄλλη καθ᾽ ἡμῶν κεκαινούργηται.

Καὶ νῦν ἔγνω τῆς γλώττης ὁπόσον Ἀττικὸν καὶ περίτρανον μὴ πάντη πάντως θρασύνεσθαι μηδ᾽ ἐπικαλλύνειν, εἴ τί που τῶν πραγμάτων ἀξιοθαύμαστον, ἀλλ᾽ ἐν μέρει τι καὶ καλλύνεσθαι καὶ πρὸς ὕψος λόγου καὶ μέγεθος συνεξαίρεσθαι, μεγάλου βασιλέως ἐπὶ μεγάλοις παιανίζοντας ἀριστεύμασιν.

Ὡς ἐντεῦθεν οἱ λόγοι χαίρουσιν καὶ πεφόβηνται, προσιᾶσι καὶ δραπετεύουσιν, ὁρῶσι τὴν τῶν σῶν μεγαλουργημάτων πυριμάρμαρον ἀστραπὴν καὶ ἐρῶσι τῆς λαμπηδόνος, ἀλλ᾽ ὑποπτεύουσι τὸ ἐμπύριον καὶ πάθος τῶν πλανωμένων ἀστέρων πεπόνθασιν προστιθέντες τοῖς δρόμοις, οἷον αὖθις ἀνθυφαιροῦσί τε καὶ ἀναποδίζουσιν. ἢ που νῦν πρώτως ἐπὶ σοὶ καὶ τοῖς



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/58 UNIVERSITÄT LEIPZIG

σοῖς ἔργοις σκιὰν ἑαυτοὺς πραγμάτων οἱ λόγοι γνωρίζουσιν, καὶ δέχονται τὴν κλῆσιν ἡδέως, καὶ τὸν Ἀβδηρόθεν σοφὸν οὐκ ἐμέμψαντο. κερδαίνουσιν μέντοι κἀνταῦθα τὸ πολὺ τῆς σκιᾶς καί, ὡς εἰπεῖν, δολιχόσκιον· 'δολιχόσκιον' γάρ σοι καὶ τὸ 'ἔγχος' ὡς ἀληθῶς, ὦ βασιλεῦ, καὶ φθάνει μὲν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, φοβεῖ δὲ ὅλα ἔθνη μυρίανδρα.

Τοῦτό σου τὸ ἔγχος πάλαι καὶ Γέτην ἀνεῖλε καὶ Μασσαγέτην καθεῖλε, 3
καὶ Δάκας κατετροπώσατο καὶ Σάκκας ἠνδραποδίσατο. τοῦτό σοι τὸ ἔγχος καὶ νῦν, ὡς ἀπὸ φλογέας τινὸς ἀστραπῆς τῆς ὄντως δεινὸν ἀπολαμπομένης αἰχμῆς, οὐκ ὀλίγα τῆς Περσίδος ἐφόβησε καὶ κατέπρησεν· οὕτω σοι τὸ ἔγχος πρηστήριον, οὕτω σὺ κεραυνοβόλος κατὰ Περσῶν πάλαι μὲν ἐστρατήγησας, νῦν δὲ θεοῦ διδόντος κατεστρατήγησας καὶ κατέφλεξας.

Εἰ δὲ ὅλα Περσῶν ἔθνη καὶ μυριόγλωττον γλῶτταν ἀλλόφυλον 'τὸ ἐνυάλιον' ἀλαλάζουσαν τοῦτό σοι τὸ βασίλειον ἔγχος ἐπέδησε καὶ συν-
418] έθραυσε, τί ποτε ἄρα καὶ δράσει σε μικρὰ καλαμὶς | καὶ γλῶττα μικρὸν ἠχοῦσα καὶ ταπεινὸν καὶ ὡς ἀπὸ γῆς πρὸς τὴν αὐτοκρατορικήν, τὴν ὡς ἀπ' οὐρανοῦ μεγάλα βροντῶσαν καὶ καταβροντῶσαν τὸ βάρβαρον; τί δ' ἂν καὶ δύναιτο χεὶρ γλώσσαις ἀνθρώπινα σοφιστευούσαις ὑποδρηστεύουσα πρὸς οὕτω βασιλείους χεῖρας θεόθεν δεδιδαγμένας εἰς πόλεμον; ἆρ' οὖν διὰ ταῦτα καὶ τὴν χεῖρα καθέξομεν καὶ τὴν γλῶτταν πεδήσομεν, καὶ τοὺς ἐπινικίους παιᾶνας οὐ προσεπᾴσομεν οὐδὲ συμπλέξομεν τὸ ἐγκώμιον, ὅτι μὴ κατ' ἀξίαν ἡμῖν ὁ λόγος θαυμάσεται καὶ παιανιεῖ παρὰ πολύ τι λειπόμενα; οὐχ οὕτω ταῦτα ἔγωγε, οὔ, μὰ τὰς σὰς χεῖρας τὰς βαρβαροκτόνους τὰς φιλοχρίστους, ὑφ' ὧν ἔχω τὸ σῴζεσθαι καὶ σοφιστεύειν καὶ φθέγγεσθαι καὶ ἃς ἀδικοίην ἄν, εἰ δι' αὐτῶν τὰ τῆς γλώττης ἔχων ἐλεύθερα εἶτα ἐπίσχω τοῦ λόγου τὸ ἐλευθέριον καὶ κατασιγάσω τὸ ἄνετον, ὅπου καὶ τὸ μὴ λέγειν ὡς ἀδικώτατον καὶ τὸ λέγειν οὐκ ἄχαρι. καὶ ἡ γλῶττα ἐνωραϊσθήσεται, ὅτε καὶ ὁ μέγας ἡμῶν βασιλεύς, ὡς μὲν περὶ τὰς δόσεις μεγαλοψυχότατος ὡς δὲ περὶ τὰς ἀπολήψεις φιλανθρωπότατος, κἂν εἰ τὸ πᾶν τῆς ἀξίας ἐλλείψωμεν, εὖ οἶδα, συγγνώσεται καὶ τοῦ τῶν ἔργων μεγέθους, οὐ τῆς ἡμῶν γλώττης νομιεῖται τὸ ἔλλειμμα.

Εἰ γὰρ καὶ δεινὸς σὺ τὰ πολέμια, ἀλλ' οὔ τί γέ σοι τὸ ἀρρενικὸν καὶ 4
φιλόμαχον ἐμπέφυκεν ἄκρατον· ἐπὶ σοὶ γὰρ δικαιότατα καὶ τὸ Ἀρχιλόχου

ἐπικομψεύσομαι· ἀλλ' ἐπίστασαι καὶ 'Μουσάων ἐρατὸν δῶρον', καὶ δέχῃ μετὰ τῶν ἄλλων οὐ σμικράν τινα καὶ φαύλην δασμοφορίας ἀπόμοιραν. ἐχρωματούργησας σὺ κατὰ βαρβάρων τὰ τρόπαια καὶ γραφεῖον εἶχες τὸ δόρυ καὶ πίνακα τὴν Ἀσίαν· ὁ δέ σοι πίναξ οὗτος ἀντὶ χρωμάτων τοῖς τῶν πεσόντων λύθροις ἐβάπτετο.

Ἔα καὶ ἡμᾶς, ὦ βασιλεῦ, οὕτω καλῆς παραπολαῦσαι γραφῆς καὶ δὸς μικρόν τι διαμιλληθῆναι τῷ ἐδαφίῳ καὶ ὡς ἐπὶ πίνακος τοῦ λόγου διατυπώσασθαι, ἃ σὺ κατὰ Περσῶν ἐκαινούργησας. ἔχομεν καὶ ἡμεῖς δόρυ τὴν καλαμίδα, καὶ τάχα ὡς ἐπί τινος εἰκονίσματος πεσοῦνται πάλιν οἱ βάρβαροι, καὶ τροπαιουχήσεις τὸ δεύτερον. σὺ ταῖς ἀάπτοις χερσὶ τὸ τρόπαιον ἤγειρας· ἡμεῖς τὸν ἐπινίκιον κρότον εὐφήμοις γλώσσαις ὡς εἰκὸς ἀνεγείρομεν. σὺ τὸ τῶν κατορθωμάτων εὐφυὲς κάλλος ἀπέδειξας· ἡμεῖς, τὸ τοῦ λόγου στίλβον ὡς οἷόν τε ἀποσμήξαντες, τὴν ὥραν τῶν ἔργων ἀντεπιδείξομεν. κἂν τί που μὴ πρὸς ὁλοτελῆ τὴν διαφάνειαν τὸ κάτοπτρον ἀπορρύψωμεν, ἀλλά γε τὸ χρῶμα φυλάξομεν· κἂν τοῦ σχήματος διαπέσωμεν, καὶ τῶν θεατῶν ὅ γε μὴν τὴν ὄψιν φιλοσοφώτερος τὸ τοῦ χρώματος ἡλιῶδες ἐπιγνώσεται καὶ θαυμάσεται καὶ τὸν ὅλον κύκλον οὐκ ἐκζητήσειεν. ἃ γὰρ οὐκ ἐχώρησαν Κίλικες, ἃ γὰρ οὐκ ἐστενοχώρησαν Ἴσαυροι, ἃ τὴν ὅλην Ἀσίαν ἐνέπλησαν καὶ Πέρσας κατέπληξαν καὶ Ἀσσυρίους ἐφόβησαν, πῶς ἄν τις ταῦτα καὶ σμικρῷ λόγῳ σαφῶς διαγράψειέ τε καὶ περιγράψειεν;

5 Ὡς καλὰ μέν σοι καὶ τὰ πρότερον κατ' Εὐρωπαίων ἐθνῶν στρατηγήματα. ἐκεῖνα καὶ Δαλμάτας ἐτρέψατο καὶ Σκύθας ἐπτόησε καὶ Νομάδας, ὅλον ἔθνος ἁμαξῆρες καὶ ἀπολίτευτον· πολλοῖς τοῖς λύθροις καὶ ὅλοις αἱμάτων ποταμοῖς πολυχεύμοσιν τὰ τοῦ Ἴστρου ῥεῖθρα ἐπέχρωσεν.

Ἀλλὰ νῦν ὡς καινότερά σοι τὰ τρόπαια, ὡς πολὺ καλλίω τὰ στρατηγήματα. τρέπεις μὲν ἀεὶ | βαρβάρους καὶ συγκλονεῖς, νικᾷς δὲ τοῖς δευτέροις 418v] τὰ πρότερα καὶ ὑπεραναβαίνεις αὐτὸς ἑαυτὸν τὸ καινότατον καὶ νίκας νίκαις ἐπισυνάπτεις καὶ ἀναβάσεις ἀριστευμάτων ἐν τῇ καρδίᾳ τιθέμενος καὶ τερατουργῶν τὰ πολέμια. ὢ καλλίστης φιλοτιμίας, ὢ θαυμασιωτάτης ἔριδος. οὐκ ὀλίγα πρὶν κατὰ βαρβάρων ἐτερατούργησας καὶ ὅλα γῆς ἀπέκοψας πέρατα, καὶ οὐ μέχρι τούτου τὸ φιλόνεικον ἔστησας, ἀλλ' ἐπαύξεις τὸ μεγαλόψυχον καὶ μείζω τῶν προγεγονότων διανοῇ καὶ πράττειν ἐπιχειρεῖς, ἃ μήπω σοι καὶ κατώρθωτο. καὶ μέντοι καὶ πέπρα-

κται· ἅμα τε γὰρ ἐπὶ νοῦν ἧκέ σοι τὸ στρατήγημα καὶ αὐτίκα ἐξεστρατήγηται, καὶ ὁ πολέμιος ὅτι τάχος κατεστρατήγηται. γεννᾷ μέν σοι ὁ νοῦς ἀρτιμελῆ καὶ ὑγιᾶ τὰ βουλεύματα, καὶ ὡς ἐξ ἀκροπόλεως τῆς βασιλικῆς κεφαλῆς τὰ πρακτέα σοι προσεπιτάττει καὶ διορίζεται, ὑπηρετεῖ δὲ ἡ χεὶρ καὶ δορυφορεῖ τὰ νοήματα μεγαλουργὰ καὶ ἀπόβλεπτα, καὶ τὸ μεγαλόνουν ἀπολαμβάνουσα τὸ δραστήριον ἀντιδίδωσιν.

Ὅθεν οὔποτε βεβούλευσαι μὲν οὐκ ἤνυσας δέ, οὐδ᾽ ἤνυσας μὲν οὐ τεθαύμασαι δέ, ἢ λέοντα μὲν ὤδινες, ἀπεμαιεύσω δὲ πίθηκον καὶ κόμπος ἄλλως ἦν σοι τὸ πολὺ τοῦ βουλεύματος. Δαρεῖοι ταῦτα καὶ Ξέρξαι καὶ εἴ τις ἄλλος τοιουτότροπος βάρβαρος, οἷς πολλὴ μὲν ἡ χεὶρ ὑπῆν καὶ βαρεῖα, ἐστρατήγει δὲ πρόθεσις ἀδικωτάτη καὶ βαρβαρική τις ἀπόνοια, καὶ ὁ νοῦς τῶν πρακτέων ἐλείπετο.

Ἐπὶ τούτοις καὶ λαγωὸν ἀφ᾽ ἵππου γενέσθαι μανθάνω καὶ πείθομαι καὶ ξυνίημι τοῦ αἰνίγματος καὶ τὸ συμβὰν ἀποδέχομαι· ἐπιστρατεύουσι μὲν ὑπὲρ ἵππον ἀγέρωχοι, ἀλλ᾽ ὑπονοστοῦσι λαγωοὶ ταχεῖς εἰς φυγὴν καὶ τὴν ὀφρὺν εὐκατάβλητοι. ἀλλ᾽ οὐ τοιοῦτον εἶδέ σε τὸν ἐμὸν αὐτοκράτορα οὐ τὰ Κιλίκων καὶ Παμφυλίας ὁρίσματα, οὐ τὰ Ἰσαύρων πολίσματα οὐδ᾽ ὅσα τῶν Ἀσσυρίων νομαδικά τε καὶ αὐτόνομα.

Ἀλλὰ τί κύκλους ἐπὶ κύκλοις ἐγείρω καὶ τὴν σκιὰν ἄγαμαι μὴ θαυμάζων 6
τὸν ἥλιον, καὶ περί που μόνον ἑστὼς τὸ προτεμένισμα τέθηπα καὶ μὴ θᾶττον ἐμπομπεύω τῷ λόγῳ μεγάλου βασιλέως μεγάλην κατὰ τῆς Ἀσίας ἐξέλασιν καὶ συγκίνησιν; τῆς Ἡροδότου ταῦτα δεῖται μούσης, τῆς Ὁμήρου μεγαλοφωνίας, τῆς Ἀναξιμένους γλώττης ἀττικευομένης ὡς τὰ πολλὰ καὶ κομψευομένης ὑπόσεμνα. μόγις ἂν οἶμαι ταῦτα ἐκεῖνος πρὸς ἀξίαν ἐξύμνησε κἄν, εἰ παρῆν, οὐ πάνυ τι τὸν Μακεδόνα ἐθαύμασε· τάχα καὶ σοὶ μᾶλλον τὴν γλῶτταν ἤπερ ἐκείνῳ, καὶ δικαίως, ἂν ἀπεκλήρωσεν.

Οἷον γὰρ νῦν ἐκτετόξευκας ἄεθλον. ὃν οὔπω τις πολλῶν ἐτῶν μετά γε τὸν Μακεδόνα ἐκεῖνον· εἰ δ᾽ οὖν, ἀλλ᾽ οὐκ ἐπὶ τοσοῦτον οὐδ᾽ οὕτως 'εὔστοχα' βέβληκεν. ἐπεὶ γάρ σε θεὸς εἰς κεφαλὴν ἐθνῶν κατέστησε καὶ εἰς βασιλέα ἔχρισε καὶ σὲ τὸν ἐκλεκτὸν αὐτοῦ, τὸν ὅσιον, εἰς ὁδηγίαν Ἰσραὴλ ἐξαπέστειλε, κοσμεῖς μὲν καὶ διατάττεις εὐθὺς τὸ ὑπήκοον, τὸν 'λαὸν' κυρίου τὸν 'περιούσιον', ὅλῃ χειρὶ βαρβαρικῆς ἐξελέσθαι δουλείας φιλονεικῶν καὶ τῆς ἐκεῖθεν πλινθείας ἀπολυτρώσασθαι, ὁ δέ σε καὶ χρίσας καὶ βασιλεύσας θεός, τὸν καλῶς καὶ χρισθέντα καὶ βασιλεύσαντα, ἐκεῖνος καὶ περιέζωσε δύναμιν καὶ τὸν βραχίονά σου ὡς τόξον χαλκοῦν ἔθετο.

Ἐντεῦθεν αἴρεις τὸ ξίφος καὶ ὡσεί τις ἀρχιγεωμέτρης ὡς ἀπὸ κέντρου τοῦ θεοσδότου σου λάχους καὶ διαστήματος κύκλον περιγράφειν ἐπιχειρεῖς, ὡς μὲν μέγαν ὡς δὲ κάλλιστον· καὶ δὴ πολλὰ πολλάκις καὶ γραμμῇ περιῇξας ὡς ὑπὸ γραφείῳ τῷ δόρατι. καὶ ὑπὸ τούτῳ σου τῷ θαυμαστῷ διαγράμματι | μυρία τῶν ἐπὶ δυσμαῖς ἀλλοφύλων ξυνεκάμπτετό 419] τε καὶ περιήγετο.

Ἐλείπετο δή σοι καὶ Ἀσίαν χειρώσασθαι καὶ τὰ τῆς γραμμῆς ἐπισυνάξαι λειπόμενα, ἵν᾽ ᾖ σοι καὶ τὰ τῆς βασιλικῆς γεωμετρίας ὁλοτελῆ τε καὶ ἄρτια καὶ ὁ κύκλος ἀρτίκυκλος.

7 Τί οὖν; ὁρᾷς τὸν μέγαν καὶ μεγαλεγχειρητὴν ἐκεῖνον Ἀλέξανδρον, ἐπὶ τοῦτον ἄγεις τὸν ζῆλον, ἀποθαυμάζεις τὸν ἄνδρα τῆς τόλμης, ἀποσεμνύνεις τῆς μεγαλονοίας, ἐξαίρεις τῆς φιλοτιμίας, συνεξαίρεις τῆς μεγαλεπιβολότητος, ἐντεῦθεν ἀπαίρεις τῆς μεγαλοπόλεως.

Καὶ σὲ τὸν ἐμὸν εἶχεν Ἀλέξανδρον ἡ κατὰ Περσῶν τῶν ἀλλοτέρων ἐξέλασις. ἀλλὰ νῦν μὲν ἐπέχεις τὰ πρῶτα τὴν ἐπὶ Πέρσας ἔφοδον, ἐλαύνεις δὲ διὰ Παμφυλίας, καὶ ὡς ἐπὶ Κίλικας τῷ τέως ἄγεις τὸ στράτευμα· τὸ δέ σοι ἐνθύμιον ὡς βασιλικόν τε ἅμα καὶ ὡς φιλόσοφον, καὶ μετὰ τοῦ φιλοσόφου πολὺ συνανακεκραμένον ἔχει τὸ δίκαιον.

8 Ἀλλά μοι δός, ὦ ἄριστε αὐτοκράτορ, ἃ σὺ τότε τοῖς ἔργοις ἐφιλοσόφησας, ταῦτα νῦν ἐπεισκυκλῆσαι τῷ λόγῳ φιλοτιμότερον, ἵν᾽ ᾖ μοι καὶ ὑψηλότερον τοῦ τε λόγου τὸ ἐπεισόδιον καὶ τῶν σῶν μεγαλουργημάτων τὸ πρόᾳσμα.

Ἡ γάρ τοι φύσις καὶ ὅσον αὐτῆς περὶ γένεσιν οὐκ ἀπὸ τῶν ἄκρων τὴν εἰς ἄκρα ποιεῖται μετάβασιν, τὸν μέσον ὑπερπηδήσασα, ἀλλ᾽ οἷς ἡ μεταξύτης οὐ πάνυ τι πόρρω διέστηκε καὶ ποιότητος ὁμοιογένεια πρόσεστι, ταῦτα ταχὺ μεταβέβληκεν, ὡς αὖθις ὁπόσα μηδὲν ἔχοι τι ξύμβολον καὶ κατ᾽ ἄμφω τὰς ποιότητας ἀποξενοῦται καὶ διαμάχεται, τούτοις δὲ χαλεπὴ καὶ δυσχερὴς ἡ πρὸς τἀναντία μετάβασις· καὶ διὰ τοῦτο ἡ φύσις τοῖς μέσοις καὶ ὁμογενέσι τοῦτο ξυνέδησε, καὶ οὕτω ταχεῖαν τὴν μεταβολὴν ἐσοφίσατο.

Ὅθεν καὶ οὐ θᾶττον ἄν ποτε πῦρ τὴν εἰς ὕδωρ μεταστοιχείωσιν δέξαιτο, ἀὴρ μέντοι πρὸς ὕδατος φύσιν ἀπορρυήσεται καὶ μεταβεβλήσεται τάχιον· καὶ ξυμβέβληται γὰρ μέρος θάτερον καὶ ξυγκέκραται.

Ἂν οὖν καὶ σὺ κατὰ Παμφυλίων καὶ Κιλίκων ἐστράτευσας, φύσιν ἐζήλωσας, μεταβολῆς νόμους ἐτήρησας, τὸ πάντη πάντως παρῆκας τέως ἀλλόφυλον καὶ πρὸς μετάθεσιν δυσεκβίαστον, καὶ τὸ δῆθεν ὁμόφυλον καὶ μὴ

*κατ᾽ ἄκραν ἀφεστὼς τὴν διέχειαν προσεβιβάσω μέν, ἀλλ᾽ εὐχερέστερον, ἐφειλκύσω μέν, ἀλλὰ τάχιον. μετὰ δέ σε τὴν καλὴν ʽἀλλοίωσινʼ ἀλλοιοῦντα καὶ ὅση ʽτῆς δεξιᾶς τοῦ ὑψίστουʼ, καὶ τὸ πάντη ἀλλογενὲς καὶ ἀλλόδοξον εἰς τὸ συμμαχικὸν ἡμῖν καὶ ὁμόδοξον μεταπλάττοντα πάντες οἴδαμεν καὶ ἀποθειάζομεν.*

*Ἵετο μὲν οὖν σοι τὸ στράτευμα διὰ Παμφυλίας καὶ ὡς εἰς ἔργον ἠπείγετο.* 9 *τὰ δ᾽ ἐπὶ τούτοις τὸ ἔθνος ὕπουλον τὸ χωρίον δυσέμβολον, ὁ λόφος ἐπιεικῶς τὸ διάμετρον μυουρίζων τὰ πολλὰ καὶ ʽεἰς ὀξεῖαν κορυφὴνʼ συναγόμενος· πέτραι πολλαὶ καὶ δειναὶ περὶ τὸν λόφον προσανερρώγεσαν καὶ τὸ βάσιμον δύσβατοι καὶ τὸ μέγεθος ὑπερνέφελοι· ἠλιβάτους ἐκείνας τὰς πέτρας εἶπεν ἂν ἰδὼν Ὅμηρος· ὑπὲρ τὴν Θετταλῶν εἰσβολήν, ὑπὲρ τὸ ἐν Θερμοπύλαις στόμα τὰ Κιλίκων τέμπη ἐστένωτο· ἔκαμνεν ὁ στρατός, ἡ ἵππος ἀνερριχᾶτο, καὶ ὁ τύραννος ὑπὲρ κεφαλὴν ἐκάθητο μέν, ἀλλὰ τὸν ʽπόλεμον ὑπενόμενενʼ· οὐ γὰρ ἐθάρρει τὴν ἔξοδον, ἀλλ᾽ ἐδεδίει τὴν κάθοδον, καὶ οἱ ὑπασπισταί — Σκείρωνας καὶ Πιτυοκάμπτας ἄν τις* 419ᵛ] *εἴκασεν ἐξ ὑπερδεξίων ὡς ἀφ᾽ ὑψηλῶν τῶν πετρῶν βάλλοντας | καὶ ληστεύοντας· καὶ τὸ πλῆθος οὐ τριακόσιοι, βραχὺς ἀριθμὸς καὶ πρὸς ἀντιπαράταξιν εὐπερίτρεπτος, ἀλλ᾽ ὅλαι πόλεις καὶ ὅλα στρατεύματα. ἀλλ᾽ ʽἐγένετο κύριος ἀντιστήριγμά σου, ἐξήγαγέ τε εἰς πλατυσμὸνʼ καὶ ʽτοὺς πόδας ἐν εὐρυχώρῳ ἔστησεʼ· τότε δή σοι, τότε μᾶλλον καὶ τὸ ἀκατάβλητον ἐθαυμάσθη καὶ τὸ μετὰ ξυνέσεως ἀνδρεῖον ἐξέλαμψεν.*

*Οὐ γὰρ ἀπεγείωσας θάλασσαν, οὐκ ἐθαλάττωσας ἤπειρον οὐδὲ πλωτὴρ μὲν ἠπειρώτης, ἱππεὺς δ᾽ ἐφέρου πελάγιος (ἐμπλήκτου ταῦτα βαρβάρου ἔμπληκτα ἔργα καὶ βάρβαρα), ἀλλ᾽ εὐθὺς ὡς ἐπὶ μάχην χωρεῖς καὶ φοβεῖς οὐ πελαγώμασιν οὐδ᾽ ἀναχώσεσι· καὶ τὰ ληστήρια ἐξεκέκοπτο καὶ ὁ φρούραρχος ἡλίσκετο καὶ ἡ ὁδὸς ἐκαθαίρετο.*

*Πόσων ἐπαίνων ταῦτα, ὦ βασιλεῦ, πόσου τοῦ θαύματος, πόσης τῆς περὶ στρατηγίαν δεινότητος. ἐκεῖνα τὰ φρούρια καὶ μόνον ἄν τις ἰδών, ὡς πρὸς τοσαύτην ὑψωμάτων ὑπερβολὴν ἰλιγγίασε καὶ παντάπασιν ἀπέγνω τὴν ἅλωσιν· ἐκείνην τὴν ὁδὸν κἂν διὰ φιλίου προσελθεῖν οὐκ ἐθάρρησεν. ἀλλ᾽ οὐχὶ σύ γε ὁ σωτὴρ ὁ τροπαιοῦχος ὁ πολιορκητής· ἀλλ᾽ ὑπὲρ τὸν Μακεδόνα ἐτόλμησας, ἀλλ᾽ ὑπὲρ τὸν σωτῆρα Πτολεμαῖον τοὺς αὐτὸς αὐτοῦ*

*διεφυλάξω καὶ περιέσωσας, ἀλλ' ὑπὲρ τὸν πολιορκητὴν Δημήτριον ἐπολιόρκησας τὸ ἀντίπαλον, ἀλλ' ὑπὲρ τὸν Σκηπίωνα καὶ ἠγωνίσω καὶ κατηγωνίσω τὸ βάρβαρον.*

*Τίνα σοι καὶ κλῆσιν ἁρμοδιωτάτην ἐφεύροιμεν, ἐπεὶ καὶ ταῦτα σμικρὰ μετὰ τῶν προλεχθέντων ἀπήλεγξας; εἰ βραχεῖαν ὁδὸν σμικροῖς ληστηρίοις ἀποφραττομένην καὶ ὅσην ἄν τις ἐκ Τροιζῆνος Ἀθήναζε ἵκοιτο Θησεὺς ἐκεῖνος ἐκάθηρε καὶ μέγας ἥρως ᾔδετο, πόσῳ σὺ καὶ Θησέως μείζων καὶ μειζόνων ὀνομάτων ἄξιος;*

10 *Θαρσεῖτε, ὦ φιλόχριστοι καὶ ὅσοι διὰ Χριστὸν ἐνόδιοι καὶ ἀπόδημοι, μηκέτι φονῶσαν χεῖρα δέδιτε· βασιλεὺς φιλόχριστος ταύτην εἰς δεσμὰ παρῆξε καὶ ξίφος κατέαξεν ἄδικον.*

*Ἀλλὰ γὰρ ἐκείνοις μέν, ὦ βασιλεῦ, τὴν ἐπὶ τὴν κάτω ταύτην καὶ φαινομένην Ἱερουσαλὴμ ἀκριβῶς ἐξελέανας, σαυτῷ δ' ἑτέραν θειοτέραν ὁδὸν καὶ μάλα εὐρεῖαν ἀνέῳξας, τὴν εἰς Ἱερουσαλὴμ δηλαδὴ τὴν ἄνω καὶ ἱεράν, ἀφ' ἧς καὶ καθ' ἣν τὸν γλυκὺν Ἰησοῦν ὀπτανόμενος καταγλυκάζεις σου τὴν ψυχήν, καὶ ἀποπληροῖς σου τὸν ἔρωτα, καὶ χαίρεις τὰ ἄρρητα.*

*Μεταβαίνεις ἐντεῦθεν καὶ δέχεταί σε Ταυρική τις ὑπώρεια· τὸ δὲ ὄρος ὁ Ταῦρος· πεδιὰς μὲν κατὰ δεξιὰν προσεφήπλωται· Κίλικες τὸ ἔθνος· μήτηρ Κιλίκων ἡ πόλις. φρακτοὶ ταύτην ἐφρούρουν, καὶ τὸ γένος ἀπηνὲς θυμοβάρβαρον καὶ ὡς ἀγέρωχον ἐφρυάττετο καὶ ὡς φιλόμαχον ἀπεμάχετο.*

*Ἀλλ' ὢ τοῦ θράσους· οὗτοι ἐπὶ τὸν βασιλέα οἱ τύραννοι, ἐπὶ τὸν ἁπάντων φιλανθρωπότατον οἱ θῆρες οἱ μεμηνότες οἱ ἔκφρονες, ἐπὶ τὸν ἐξ ὕψους ἐνδυσάμενον ʽδύναμιν' οἱ ἀπὸ γῆς καὶ δυνάμενοι χθόνια καὶ πετρῶν ὑποκρήμνων τεθαρρηκότες ὑψώμασιν. μάτην μεγαλαυχεῖτε, ὦ βάρβαροι· μάτην τοῖς ὅπλοις ἔτι πεποίθατε· μικρὸν καὶ ὑποκύψετε, μικρὸν καὶ ἁλώσεσθε. ἂν ὑμεῖς ἀπὸ σιδηρέου γένους, κατὰ τὴν ποίησιν, ὁ βασιλεὺς ἡμῶν ἐξ ἀδάμαντος. ἂν ψυχρὰν ὑμεῖς ἀπὸ σιδήρου καρδίαν κεχάλκευσθε, ὁ βασιλεὺς καὶ τὴν ἀρετὴν αἰθέριος καὶ τὰς χεῖρας ἐμπύριος· κἂν προσκρούσητε, συντριβήσεσθε· κἂν ἐφάψησθε, μαλαχθήσεσθε. ἂν ὑμεῖς ὡς Γολιὰθ ἐκεῖνος μεγαλαυχῆτε καὶ κατεπαίρησθε τοῦ Ῥωμαίων στρατεύματος, ἔχομεν ἡμεῖς τὸν Δαυὶδ | ἐκλεκτὸν κυρίου καὶ* 420] *ἄνδρα δυνάμεως· καὶ ἀφελεῖται ʽὄνειδος ἐξ' υἱῶν ʽἸσραήλ'. ἂν ὑμεῖς ὡς ἀντίον ὑφαινόντων τὸ δόρυ προβάλησθε, ἔχει λίθους ἐκεῖνος· καὶ πεσεῖσθε βαλλόμενοι.*

Πρὸς γὰρ αὖ τοῖς ἄλλοις πηλίκον καὶ τοῦτό σοι τῷ αὐτοκράτορι ἐπινενόηται, καὶ ἡ ἐπίνοια ὡς θαυμαστὴ καὶ τῷ ὄντι σωτήριος. παντοδαπὸς εἶ τὰ πολέμια καὶ τὴν ὅπλισιν οὐχ ἁπλοῦς καὶ μονότροπος· οὐδ᾽ ἐξ αἴθωνος σιδήρου τὰ ὅπλα σοι μόνον κεχάλκευται, ἀλλ᾽ ἔσθ᾽ ὅπου καὶ λίθους κατὰ τῆς τῶν πολεμίων κεφαλῆς ἀποδισκεύεις δεινοὺς ὀκριόεντας.

Ὁπλίζεται ὁ πολέμιος καὶ ἡ παράταξις ἀντιπρόσωπος καὶ σὺ τὰ ὅπλα ἐπενδιδύσκῃ· καὶ μικρὸν ἀντιβὰς ἐκεῖνος καὶ ἀνδρισάμενος, οἴχεται τὰ νῶτα μεταβαλὼν καὶ σοὶ βάλλειν διδοὺς τὸ μετάφρενον. ἀλλ᾽ ἀποδειλιᾷ τὸν σίδηρον καὶ ὡς ἐπὶ ταῖς ἐπάλξεσιν ἕστηκε, λαγωός, ἂν εἴποι τις, ἐπὶ τέφραν φυγών. καὶ σὺ μετασκευάζεις τὸν πόλεμον, καὶ ὡς ἀπὸ λίθου κεκρότηται, καὶ βάλλεις ὡς ἀπ᾽ οὐρανοῦ καὶ καθαιρεῖς τὰ προπύργια, καὶ περιαιρεῖς τὸν περίβολον, καὶ χιτὼν τοῖς ἐχθροῖς ἕτερος ὑπὸ τῆς σῆς στερεμνίου χειρός, λάινος δ᾽ οὖν καὶ αὐτός, ἐξυφαίνεται, καὶ μεταμανθάνουσι τὴν Ὁμηρικὴν ἀράν, καὶ τοῦτο τῆς τῶν λίθων σκέπης ἀπώναντο. βάλλεται μὲν ὡς ἀπὸ μυρίας χειρὸς ὁ λίθος ἁμαξοπληθὴς καὶ ὡς ὄντως ʽἄχθος ἀρούρης᾽ καὶ δίσκευμα φόνιον· καὶ ὁ ἐπὶ τοῦ τείχους ʽψυχρὸν᾽ λίθον οὐ ʽχαλκοῦν ἕλεν ὀδοῦσι᾽, καὶ ὡς ἀφ᾽ ὕψους ἀπέωσται, καὶ ὡς ἐπὶ κεφαλῆς ʽκυβιστᾷ᾽ καὶ βάλλεται κύμβαχος. ʽπέσε᾽ δ᾽ ἐπὶ γῆς ʽτανταλωθεὶς᾽ ὁ προτοῦ σεμνηγόρος ὁ μέγας ὁ Καπανεὺς ὁ ὑπέραυχος. ὅσοι μὲν οὖν ἔτι Κίλικες ἀρχαιοπολῖται καὶ αὐτόχθονες ὑπελείποντο (Κελτικοῦ θυμοῦ φαίη τις ἂν ἴχνια καὶ λείψανα πολλά), οὗτοί σε τὸν βασιλέα καὶ βασιλέα φιλανθρωπότατον μεθ᾽ ἡδονῆς ἑώρων καὶ ἀσπασίως ἐδέχοντο. τὸ γὰρ τῆς φήμης πτερὸν οὐκ ἔστιν ὅπου μὴ διεπόρθμευσέ σου τὸ φιλυπήκοον, καί πως ἂν εἴποις ἡδέως τὰς ἀκοὰς κἀκείνοις ὑπεγαργάλιζεν. ἔνθεν τοι καὶ τῆς τῶν φρακτῶν ἀπαλλαγέντες φάλαγγος διωθοῦνται τῆς κάτω πόλεως τοὺς πάλαι τυράννους, καὶ σοὶ τῷ βασιλεῖ καλὸν τὸν εἰσιτήριον ᾄδουσιν ὅλας πύλας ἀναπετάσαντες.

Ὡς εὖ γε ὑμῖν τοῦ βουλεύματος, ὡς εὖ γε τοῦ σκέμματος, ἄνδρες Ταρ- 11
σεῖς, ἄνδρες Παύλου πατριῶται καὶ ὁμοπόλιδες. ἦ που τοῦτο ὑμῖν Παῦλος ἔπνευσε, βασιλείαν ἔννομον ἀνόμου βασιλέως ἀλλάξασθαι καὶ ὡς ἐπὶ Χριστὸν κύριον μεταφοιτῆσαι καὶ μεταβαλεῖν· ὡς ὄντως Παύλου καὶ τοῦτο τὸ κήρυγμα καὶ τῆς ʽἀποστολικῆς᾽ ἐκείνης καὶ φιλοκάλου ʽψυχῆς᾽ καὶ τοῦ-

τον ἐγὼ τὸν ἆθλον τίθεμαι. τάχα καὶ ἐπὶ παρεμβολῆς ἀγγέλων τὸν κύριον καὶ διδάσκαλον ὁ θεράπων καὶ μαθητὴς ἐξῃτήσατο σοὶ μὲν τὴν ἐκείνου πατρίδα φυλάττειν ἀποχαρίσασθαι, σὲ δ' αὖθις ὑπ' ἐκείνῳ διδασκάλῳ τελεῖν καὶ τελεῖσθαι τὰ ἄρρητα. ἦ που καὶ τοὺς φρακτοὺς καὶ μὴ βλεπόμενος ὑπετώθαζε· «τί δὲ οὐχ ὑποχαλᾶτε τοῦ φρονήματος, βάρβαροι, τί δὲ οὐ τῆς ὀφρύος ἐκκόπτετε; ποῖ καὶ ἀποδραπετεύσετε, ποῖ καὶ πεφεύγατε ἐπὶ γῆς, καὶ πῶς τὰς αὐτοῦ χεῖρας ἐκφεύξεσθε; ἀλλ' ἐπὶ τοῦ τείχους; ἀλλ' οὗτος ἐν κυρίῳ καὶ τὸ 'τεῖχος' ὑμῶν ὑπερβήσεται. ἀλλ' ἐπὶ τὴν ἀκρόπολιν καὶ τὸν ἐκείνης λόφον ὅπλοις αὐτοῖς ἀνατρέχετε; καὶ πόσῳ τοῦ 'τρίτου' χθαμαλώτερος | [420v] 'οὐρανοῦ', πρὸς ὃν αὐτὸς ἀναβέβηκα; εἶτα οὐκ ἐμὲ τὸν Παῦλον ὑποπτεύετε καὶ πεφόβησθε, μὴ καὶ ὡς ἐπ' οὐρανὸν μετεωρίσω τὸν αὐτοκράτορα; κἂν ἐπὶ βυθόν, κἂν ἐπὶ χάσματα γῆς καταδύσησθε, ἐκεῖθεν αὐτὸς ἐπὶ βυθὸν καταδὺς Παῦλος ὑμᾶς ἀνιμήσομαι καὶ ὑπὸ τοὺς πόδας θήσω τοὺς αὐτοκρατορικούς, πόδας ὡραίους πόδας εὐαγγελιζομένους εἰρήνην καὶ τὸν ἐμὸν δρόμον μετὰ καὶ τῆς αὐτῆς πίστεως τρέχοντας.»

12 Τί οὖν σὺ ὁ τὸν Χριστὸν φέρων ἐπὶ ψυχῆς καὶ μιμούμενος τὸν πατάσσοντα καὶ πάλιν ἰώμενον, τὸν ἐντείνοντα τὸ τόξον καὶ αὖθις ἐπέχοντα, τὸ μὲν εἰς ψυχαγωγίαν τὸ δ' εἰς 'ἐπιστροφὴν καὶ διόρθωσιν'; αὐτὸν ἐκεῖνον κἀνταῦθα ζηλοῖς καὶ φαίνεις ὁ μαθητὴς τὸν διδάσκαλον, ὁ πρᾶος τὸν εἰρηνικόν, τὸν Χριστὸν ὁ φιλόχριστος· οὐ θέλεις θάνατον ἀνδρῶν ἁμαρτανόντων εἰς σὲ καὶ τὴν σὴν ἄμαχον δεξιὰν καὶ πνεόντων ὕβριν καὶ περιφρόνησιν, ἀλλ' ὑποτίθης ἐνδοῦναι τῆς ἀπονοίας καὶ τῆς ψυχῆς ἐκκροῦσαι τὸ περικεκινδυνευμένον καὶ αὔθαδες.

Ὡς οὖν σὺ μὲν ὁ τῷ ὄντι σοφὸς ἐφαρμάκευες, οἱ δ' ἀσπίδες ἦσαν τὰ ὦτα βύοντες καὶ μὴ δεχόμενοι τὰ ἐπάσματα, γίνῃ Μωυσῆς ἕτερος καὶ μαστίζειν ἐκμελετᾷς φύσιν ἀναίσθητον ὡς ἐκεῖνος πάλαι τὴν Αἴγυπτον, ἵν' ὁ τὴν ψυχὴν ἀπεσκληρυμμένος λαὸς οὗτος καὶ τὴν καρδίαν, ὡς εἰπεῖν, ἀπερίτμητος ἢ δεδιττόμενος μαλαχθήσεται ἢ θρασυνόμενος παταχθήσεται.

13 Καὶ δὴ τὰς ἑλεπόλεις ἄγεις τὰ μηχανήματα· καὶ πρό γε τοῦ τείχους οἱ φρακτοὶ τὰς ψυχὰς κατεσείοντο. τοῦτό σοι τὸ μηχάνημα καὶ σοὶ τὴν ἀκρόπολιν ἐνεχείρισε κἀκείνοις τὸ μὴ παθεῖν ἐφυλάξατο.

Ὡς γὰρ ἤδη τὰ τῆς πολιορκίας ηὐτρέπιστο καὶ οἱ λίθοι ῥοιζηδὸν ἐπὶ τὴν ἀκρόπολιν ἐξ ἀέρος ἐπέτοντο, ὁρῶσιν ἐκεῖνοι κακὸν ἄφυκτον θέαμα καινόν, δέος ἀμήχανον χάλαζαν τεχνητήν, σφενδόνην μυριόβλητον τόξον πάνδημον βέλος δυσάντητον· ἐπὶ τούτοις πεφρίκασιν κατεπτήχασι, δακρύουσιν ἀποιμώζονται ἱκετηριάζονται, πανταχόθεν θηρῶνται τὸν ἔλεον. βάρβαρος γὰρ ἀνὴρ καὶ τὸ δειλὸν ὅπου φοβεῖται δεδούλωται, καὶ τὸ μάχιμον ἐν οἷς θαρρεῖ παροξύνεται.

Σὺ δ᾽ ἀλλ᾽ ἐποικτείρεις τὰς οἰμωγάς, ἀλλ᾽ ἐπικάμπτῃ ταῖς ἱκετηρίαις, ἀλλ᾽ ἐπισπένδῃ τοῖς δάκρυσι καὶ ἀποχαρίζῃ μετὰ καὶ τῶν ὅπλων τὰ σώματα. καὶ σὲ δέχονται στρατηγόν, ὃν ἀντιστράτηγον φέρειν οὐκ ἴσχυον· καὶ σοὶ γίνονται ξύμμαχοι, ὃν οὐκ ἐφόβουν ἀντίμαχοι.

Ὦ λίθων ἐκείνων, οἳ σιδηρᾶν ψυχὴν ὑπὲρ μάγνητας ἐπεσπάσασθε. 14
ὢ μάχης ὁμαιχμίας ἀπογεννώσης καὶ μαιευομένης τὸ φίλιον. ὢ νείκους εἰς φιλίαν ξυνάπτοντος, ἀλλ᾽ οὐ κόρσας ἀκορσώτους οὐδὲ κεφαλὰς δημιουργοῦντος ἀναύχενας. οὕτω σοι καὶ τὸ πολεμικὸν ἄμαχον καὶ τὸ εἰρηναῖον μειλίχιον· οὕτω σοι καὶ τὸ πολεμικὸν ἀνυπόστατον καὶ τὸ φιλότιμον μεγαλόδωρον. ἀπὸ τούτων σου τῶν τροπαίων, ἀπὸ ταύτης σου τῆς μεγαλοδωρίας οἱ μὲν ἐπὶ μάχης, οἱ δ᾽ ἔξω καὶ μάχης, πάντες δὲ πάντως ἑάλωσαν. καὶ προσιᾶσι τῶν ἐκ πολιορκίας ἁλόντων οὐκ ὀλίγῳ πλείους τῶν φρακτῶν ἐθελόδουλοι, οὓς οὔπω σοι τὸ ἔγχος μετὰ τῆς πείρας, εἰ καὶ πρὸ τῆς πείρας τὰ τῆς φήμης ἐμορμολύττετο.

Καὶ 'Θήβης ἕδος' ἑπτάπυλον Ἀλέξανδρος ἐχειρώσατο μέν, ἀλλ᾽ οὐκέτι 15
πόλιν ἀπέλιπε· κατεστρέψατο μέν, ἀλλ᾽ εἰς ἔδαφος· καὶ πολέμου μὲν ἔστησε τρόπαιον, ἀλλ᾽ ἐπελείπετο τὸ φιλάνθρωπον καὶ δυεῖν τροπαίοιν τὸ μεῖζον καὶ κάλλιον προσαφῄρητο, ὡς ἐκεῖνος, πόλιν οὕτω πολυάνθρωπον ὑπ᾽ ὀργῆς ἀναστατώσας, ἔλαθεν ἀντὶ βασιλέως γενόμενος δήμιος καὶ τὰ Κυαξάρου τοῦ Μήδου περιφρονῶν καὶ τὰ Καμβύσου τοῦ Πέρσου μαινόμενος.

421] Ὧν ὁ μὲν πόλιν εὐδαίμονα Νῖνον ἐκείνην τὴν | εἰσέτι καὶ νῦν ᾀδομένην ἑλὼν οὐκ ἐφείσατο, ἀλλὰ καὶ ὡς ἀγρὸν ἤροσε καὶ ὡς πρασιὰν ἀνεμόχλευσεν· ὁ δὲ Θήβας ἐπ᾽ Αἰγύπτῳ πόλιν περίφημον πόλιν ἑκατοντάπυλον καὶ εἷλε καὶ καθεῖλεν ἀνήκεστα καὶ πάνθ᾽ ὁπόσα καὶ πικρά τις Ἐρινὺς ἀνεβάκχευσε.

Σὺ δ᾽ ὡς ἐξαιρήσων ἅμα ἐπέβαλες καὶ ἅμα ἐξῄρηται· τὸ δὲ καὶ περισωθῆναι τὴν ἑαλωκυῖαν, τὸ δὲ καὶ μὴ παθεῖν τοὺς ἄνδρας διαφυλάξασθαι πολλῆς γε τῆς φιλανθρωπίας, οὐκ ὀλίγης τῆς προμηθείας· καὶ τοῦτο δὴ τὸ Σοφόκλειον, ‘πλείστων χαλινῶν ἔργον οἰάκων θ᾽ ἅμα’.

16 Ὑπὲρ τὸν Ῥωμαῖον Μάρκελλον ἔχεις τὸ φιλοκίνδυνον, ὑπὲρ τὸν Θηβαῖον Πελοπίδαν τὸ εὐμήχανον, ὑπὲρ τὸν Ἐπαμεινώνδαν καὶ καταστρατηγεῖς καὶ σῴζειν τοὺς κατεστρατηγημένους ἐσπούδακας. τοῦτό σου τὸ πρᾷον, ἐκεῖνό σου τὸ ἀπρόσμαχον καὶ πόλιν ἑτέραν Κίλισσαν, καὶ ταύτην τῆς προτέρας μᾶλλον δυσάλωτον, καὶ κατεστρατήγησε καὶ περιεσώσατο.

17 Ἀλλ᾽ ὑποδειλιᾷ μοι τὸ ἐντεῦθεν ὁ λόγος· μικροῦ καὶ φεύγειν ὥρμησε καὶ τὸν φρούραρχον οὐκ ἐμέμψατο τὰς σὰς χεῖρας ἀποδράντα καὶ προσεπιγνόντα τὸ ἄμαχον. ἀλλά σου τὸ ξυμπαθὲς καὶ ὁ λόγος εἶδε καὶ τῆς δειλιάσεως μεταβέβληται· καὶ ὁ φρούραρχος μικρὸν καὶ ἔγνω, μικρὸν καὶ τὸ φεύγειν ἐπέγνω, μικρὸν καὶ κατέστραπται.

Ἐκεῖνος μὲν οὖν ἅτε πολλοῖς ‘πολέμοις’ ἐγγεγυμνασμένος πρότερον, ὡς ἤδη καὶ μεγάλου βασιλέως χεῖρας ἀάπτους ἀποκρουσόμενος καὶ μέγαν πεφοβημένος καὶ δεινὸν τὸν ἀντιπυκτεύσοντα, πανταχόθεν τὸ τῆς πόλεως πεφράγνυται πρόσωπον καὶ σοφίζεται τὸ παντοίως ἀνάλωτον. οὐκ ἐθάρρει τοῖς τῶν τειχέων πολλαπλοῖς περιζώμασιν, καίτοι σιδήρεα, ἀλλ᾽ οὐκ ἐπίστευε τοῖς τῶν πυργωμάτων ὑψώμασιν, καίτοι μικροῦ καὶ ἀτόξευτα· ἀλλὰ καὶ ἄνδρας ἐπάγει, τῆς αὐτοῦ στρατιᾶς τὸ ἀλκιμώτατον, καὶ ὅπλα καὶ μηχανὰς ἐπιτίθησιν· ἀλλ᾽ οὐδ᾽ οὕτω διαδρᾶναι τὴν πόλιν ἐνόμισεν, οἷς αὐτὸς ἐδραπέτευσε.

18 Σὺ καὶ πάλιν ἐκεῖνος ἧς ὁ παρ᾽ Ὁμήρῳ ‘ποταμὸς ὁ χειμάρρους’, ὁ ‘πλήθων’, ὃν οὔτε κατίσχουσι γέφυραι καὶ πολλὰ κατέσυρεν ἔρκεα. καὶ κατασύρεις τὰ μὲν πρῶτα τοὺς δυσμενεῖς τὰ μεγάλα θρασυνομένους καὶ μικρὰν ποιησαμένους ἀπόπειραν· ἐπεὶ δ᾽ ἐκεῖνοι, φανέντες μικρόν, ἀπεκρύψαντο καί, τὴν ἔξοδον ἀπειπάμενοι, πρὸς τὰς ἐπάλξεις ἀνερριχήσαντο, ἐντεῦθεν καὶ τείχεσιν αὐτοῖς τοὺς ἄνδρας ὁ ἐμὸς χειμάρρους ὁ ἀπ᾽ οὐρανοῦ πληθυνόμενος βασιλεὺς καὶ παρέσυρας καὶ κατέσυρας. ὁπόσον γὰρ ἐκεῖνοι δυσθανατῶντες ἠνδραγαθίζοντο, τοσοῦτον ἐφαίνου σὺ τὴν ἀρχὴν ἀκατάβλητος.

Εἶχεν ἐκείνους ὁπόσον στεγανὸν καὶ ἐντείχιον, καὶ ὁ παιανισμὸς ἐπὶ τούτοις πολὺς ὅσος, καὶ ἡ γλῶσσα ὑπέρκομπος· ἀλλ᾽ ὑπὲρ κεφα-

λῆς αὐτοῖς τὸ κακὸν περιίσταται, καὶ ἦν ἰδεῖν τότε πάθος Ταντάλειον ὑπὸ τῆς σῆς καινουργηθὲν δεξιᾶς, κἀκείνους ὡς οἷα Ταντάλους ʻκορυφῆς ὑπερτέλλοντα πέτρονʼ δειμαίνοντας καὶ τίνοντας δίκην ἀκολάστου γλώσσης καὶ θράσους ὑπέρφρονος.

Ἀλλὰ γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τὴν τῶν βαρβάρων κακοῦρ- 19
γον περίνοιαν τέθηπα καὶ τὴν τοῦ σοφοῦ βασιλέως παρὰ πολὺ σοφωτέραν ἐπίνοιαν ἄγαμαι. ἐπεὶ γὰρ τὸ θερμουργὸν ἐκεῖνο βάρβαρον καὶ ὡς ὄντως ʻθερμὴν ἐπὶ ψυχροῖσι καρδίανʼ ἔχον ὥσπερ τινὸς νέφους τῆς πόλεως ἔνδον ὑπέδυσαν καὶ θαμινὰ τῇ τῶν λίθων ἐπομβρίᾳ ξυνεκυκῶντο καὶ ξυνεφέρον-
421ᵛ] το, ὡσεὶ κεραυνοὶ εὐθὺς ἀπορρήγνυνται καὶ κεραυνοβολοῦσιν | τῷ δεινῷ τοῦ σοφίσματος· τὸ δὲ ξυναναμεμιγμένην εἶχε τῷ σιδήρῳ τὴν φλόγωσιν. ὡς ἀκριβῶς αἴθων ἦν ἐκεῖνος ὁ σίδηρος· ὡς βέλος ἔβαλε καὶ ὡς ἄνθραξ ἔκαεν. αἱ γοῦν ἑλεπόλεις κατεπίμπραντο, καὶ οἱ τῶν λίθων τοξευτῆρες περίφοβοι τῶν μηχανημάτων ἀπετοξεύοντο.

Τὰ δὲ τῶν ἐναντίων ἐν ἡδονῇ καὶ πλατεῖ γέλωτι ἀνεκάγχαζον ἐπαιάνιζον ἐκροτάλιζον· οὐδὲν ἦν ὅτι μὴ γέλως ἐκείνοις καὶ σαφὴς τῶν μηχανημάτων κατάγελως. «σοφὸς ὑμῖν (ἔφασαν) τὴν γνώμην ὁ βασιλεύς, οὐκοῦν ἀντιφλογιζέσθω τὰ μὴ φλεγόμενα· δεινὸς τὰς χεῖρας, οὐκοῦν ἀντιμαχέσθω πρὸς πῦρ. ἂν οὐ τὸ πῦρ ἐπτόηται, τὸ βέλος φοβηθήσεται· ἂν οὐ τὸ βέλος πεφόβηται, τὴν φλόγα πεφρίξεται· ἂν ἄβλητον ἔχῃ τὸ σῶμα, πάντως οὐκ ἄφλεκτον· τί καὶ δράσεται πρὸς ἀντίδοσιν; παμφάγον τὸ πῦρ πανδαμάτωρ ἡ φλόξ, ʻἀτειρὴςʼ ὁ σίδηρος οὐκ ἄτρωτα καὶ τὰ σώματα, οὐκ ἄμικτον τὸ κακὸν πολύπλοκον τὸ δεινόν· καὶ ὡς ἀπὸ πυρὸς καήσεσθε καὶ ὡς ἀπὸ ξίφους πληγήσεσθε.»

Μενοῦν γε, ὦ βάρβαροι, σοφὸς ἡμῖν ὁ αὐτοκράτωρ, σοφός, καὶ τὸ ὑμῶν κατασοφίσεται σόφισμα· ἀπελέγξει καὶ τὸ τοῦ σιδήρου ὀξυβελές, κατασβέσει καὶ τὸ τῶν ἀνθράκων πυριφλεγές, καὶ ὑμεῖς αὐτοῖς ὅπλοις ἁλώσεσθε· οὐ γάρ σε, ὦ βασιλεῦ, ʻοὐ πῦρ, οὐ σιδηροῦν σχήσει τεῖχοςʼ κατὰ τὸ τῆς Θηβαίας λύρας ἀπήχημα.

Ὁποῖα δῆτα καὶ τότε τὸ δεινὸν ἐκείνοις κατεπαλαίσω πανούργευμα. ἑτέ- 20
ρας ἀνοικοδομεῖς ἑλεπόλεις καὶ ἀποπλινθεύεις τὸ πρόβλημα καὶ ἀπερύκεις τοὺς βάλλοντας· ταὐτὸν γὰρ καὶ ἅλσὶ κατασήπειν ἐπιχειρεῖν ὁπόσα μήπω τῶν μελῶν διεφθόρασιν καὶ πλίνθινον ἕρκος ἐθέλειν φλέγειν ὑπ᾽ ἄνθρακος.

Τότε δῆτα, τότε ὁ νέος Ἰσραὴλ αὐθαιρέτῳ γνώμῃ καὶ μικρὰ πλινθευσά-

*μενος ὑπὸ σοὶ τῷ σοφῷ ἀρχιτέκτονι καὶ πλήττοντι τοσαῦτα τὸν ἀλλόφυλον, ὁπόσα Μωυσῆς τὸν Αἰγύπτιον, βαρείας πλινθείας καὶ πικρῶν ἐργοδιωκτῶν τὸ δοῦλον ὁμόφυλον ἀνεσώσατο· ἔπεσε γὰρ μετὰ καὶ τοῦ τείχους τοῖς ἐχθροῖς τὰ φρονήματα, καὶ τὸ ἄστυ γίνεται δορυθήρατον καὶ ὡσεὶ πλατειῶν πηλὸς ἐκλεαίνεται.*

**21** *Τί δεῖ με τἄρρητ᾽ ἀναμετρήσασθαι; ὡς ʽφοβερὸς εἶʼ τῷ ὄντι, καὶ ʽτίς ἀντιστήσεται;ʼ ναὶ μὴν οὐδ᾽ ἀνθέστηκεν, ἀλλὰ καὶ πόλιν ἑτέραν ὀχυρωτέραν αἱρεῖς καὶ τρόπαια ἐπὶ τροπαίοις ἱστᾷς. πάντες ὑπέκυψαν Ἴσαυροι, πάντες ἑάλωσαν Κίλικες· καὶ ἵνα θείοις ῥήμασιν ἐπὶ φιλοθέου βασιλέως ἀριστεύμασιν ἐπικαιρότατα χρήσωμαι, ʽτοῦ ἐχθροῦ αἱ ῥομφαῖαι εἰς τέλος ἐξέλιπον καὶ πόλεις καθεῖλεςʼ πλατείας καὶ περιτείχους, τὰς ἀλαζόνας τὰς ἀποστάτιδας· κατεδίωξας τοὺς ἐχθρούς σου, κατὰ τὴν γραφήν, καὶ κατέλαβες, καὶ οὐκ ἀπεστράφης, ἕως ἐξέλιπον.*

*ʽἸσχυρὸς ἦν ὡς δρῦςʼ ὁ Κελτός, καὶ σὺ τὰς αὐτοῦ ῥίζας ἐξέτιλες· ὑψηλὸς ὡς κέδρος ὁ Κίλιξ, καὶ σὺ ἐκ προσώπου ἡμῶν ἐξῆρας αὐτὸν καὶ κατέρραξας. ἀπώλετο φυγὴ ἐκ δρόμου, καὶ ὁ κραταιὸς ἀπελήλεγκται, καὶ ὁ πρὶν σοβαρός, ὁ μεγάλαυχος, ἱκέτης πρόσεισι ταπεινὸς ἐστυγνασμένος καὶ τὸ πολὺ τῆς ὀφρύος ἀφῄρηται· βλέπει κάτω καὶ πέφρικε, καὶ γίνεται τῆς ἀνάγκης δέσμιος καὶ φύσεως λάφυρον· οἱ γάρ τοι παῖδες μετὰ καὶ τῆς μητρὸς καὶ τὰ φίλτατα πάντα γεγόνασιν ὑπὸ σοὶ καὶ τῇ σῇ δεξιᾷ.*

*Σὺ δ᾽ ἀλλὰ κἀνταῦθα τὸ πρᾶον ἐμφαίνεις. οὐδὲ γὰρ οὐδὲν τῶν ὁπόσα καὶ δούλοις τοῖς ἑαλωκόσι κέχρησαι· οὐ περιάγεις οὐδ᾽ ἐκπομπεύεις σου τὸ κατόρθωμα, | ὡς ὁ πάλαι τὸν Περσέα καθελὼν Αἰμίλιος, ἀλλὰ ξενίζεις* 422] *φιλοτιμότερον ἢ τὰς Δαρείου παῖδας ἁλούσας Ἀλέξανδρος. καὶ νῦν ἔχει μέν σου τῆς ῥώμης ἀπόπειραν, ἀλλ᾽ ἔχει καὶ τῆς χρηστότητος, καὶ κατ᾽ ἄμφω στέργει καὶ τέθηπεν. ʽἐκεῖʼ συνέτριψας ʽτὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμονʼ· ἐνταῦθα τοὺς ʽσυντετριμμένουςʼ ἀνεκαλέσω καὶ εἴσεδ ἔξω τοὺς ἀπωσμένους, καὶ κάλαμον κατεαγμένον οὐ συγκατέαξας καὶ ψυχὴν τεταραγμένην οὐ συνετάραξας.*

**22** *Ὦ χειρὸς καὶ ὅπλοις καὶ χάρισι καταπληττούσης τὸ βάρβαρον. ὢ χειρός, ἧς καὶ τὸ μάχιμον ἀκατάβλητον καὶ τὸ εὐεργετικὸν ἀνυπέρβλητον. ὢ χει-*

ρὸς πληττούσης ἅμα καὶ φαρμακευούσης, συντριβούσης καὶ ἰωμένης, καταραττούσης καὶ ἀνορθούσης.

Βάλλεις ἀνθισταμένους καὶ νικᾷς πίπτοντας· παίεις ἀντιτείνοντας καὶ ἰᾷ τὰ συντρίμματα. τοῦτο βαρβαρικῆς ἀπονοίας ἐκεῖνο δεξιᾶς ἀπροσμάχου, τοῦτο τῆς ἐν πολέμοις δεινότητος ἐκεῖνο τῆς μετὰ τὸ τραῦμα χρηστότητος· ἄμφω σοι τῶν ἀρετῶν αἱ μείζους ξυστρατηγοῦσι καὶ τὰς νίκας ἐπιμερίζονται· τίνι ἄρα καὶ τὸ πλεῖον προσαπονείμωμεν; φοβεῖ τὸ μάχιμον, ἐφέλκεται τὸ φιλάνθρωπον· ὡς καλαί σοι καὶ ἄμφω ξύμμαχοι καὶ ξυστράτηγοι, ὡς ἀδελφαὶ τῷ ὄντι. καὶ ἴσον τὸ τρόπαιον ἴσος ὁ στέφανος· ἡ μὲν τὰς νίκας ἐκαινούργησεν ἡ δὲ καλῶς ἀπεχρήσατο.

23 Ἀννίβας δὲ ἄρα ὁ Καρχηδόνιος νικᾶν μὲν ᾔδει, κεχρῆσθαι δ᾽ οὐκ ᾔδει ταῖς νίκαις, ἐφ᾽ ᾧ, καὶ δικαίως τἆλλα θαυμαστὸς ὤν, τοῦτο τὸ μέρος οὐκ ἐθαυμάζετο, ἀλλ᾽ ἤδη καὶ προσεπεσκώπτετο (οἷς πολλάκις ἡ μὲν χεὶρ ὤδινεν ἡρωικὰς τὰς νίκας, ἡ δὲ μέλλησις καὶ τὸ τῆς γνώμης ἀνειμένον ἀκαίρως οὐκ εὐκαίρως ταύτας ἐξήμβλωσε), καὶ μέχρι τοῦ νικῆσαι θαυμαστὸς ἐκεῖνος, ὡς τά γε μετὰ τὴν νίκην ἀθαύμαστος. τοῦτο καὶ Ῥώμην ἀπόρθητον ἔσωσε καὶ τὴν ἐν Κάνναις νίκην οὐκ εἰς τέλος διέσωσε. σοὶ δ᾽ ἀλλὰ καὶ ἄμφω θαυμασίως ξυγκέκραται· ἡ μὲν καλῶς ὠδίνησεν ἡ δ᾽ εἰς τέλος ἐμαίευσε.

24 Σοφοὶ μὲν Ἕλληνες καὶ τῶν ἄλλων σοφώτεροι, καὶ αὐτῶν Ἑλλήνων οἱ ἐξ Ἀθηνῶν οἱ αὐτόχθονες, ἀλλ᾽ ὅτε Ξέρξης ὡς δαλοὺς τοὺς ὀιστοὺς ἀπετόξευεν, ἐκείνοις ἐπιλελοίπει τὸ σοφὸν τοῦ βουλεύματος· σὺ δ᾽ ἀλλὰ καὶ τὴν τοῦ ξίφους ἀκίδα συνέθραυσας καὶ τὸ τοῦ πυρὸς ἄνθος εὐχερῶς ἀπεμάρανας.

Εἶδε ταῦτα καὶ ὁ τῆς Ἀντιοχείας κρατῶν καὶ τεθαύμακε, καὶ στέλλει σοι τὸ κηρύκιον καὶ πραγματεύεται τὸ ἀπόλεμον. εἶδε στρατηγόν, ὃν ἡ πανδαμάτωρ οὐκ ἐδάμασε φλόξ, ὃν ὁ φόβον ἀπαστράπτων οὐκ ἐφόβησε σίδηρος· καὶ ταχὺ τὸ τραχὺ τῆς γνώμης μαλάσσεται καὶ τὴν δεξιὰν ὑποστέλλεται καὶ τὸν αὐχένα κάμπτεται καὶ γίνεται ξύμμαχος.

25 Ἀλλ᾽ οὐκ ἔμελλες, ὦ αὐτοκράτορ, οὕτως ἀποκρουσάμενος βέλη φλογόεντα μὴ καὶ ʽτὰ βέλη τοῦ πονηροῦʼ κατασβέσαι ʽτὰ πεπυρωμέναʼ καὶ ἅ σοι ὡς ἄνθρακας ἐκεῖνος ἐπαφῆκε καὶ ὅλα τὰ σπλάγχνα κατέκαυσε. σὲ μὲν γὰρ τῷ παρὰ τὸν φίλτατον ἀδελφὸν ἱμέρῳ κατέσμυχεν, αὐτὸν δ᾽ ἐκεῖνον



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/71 UNIVERSITÄT LEIPZIG

τοῖς περὶ σὲ τὸν βασιλέα καὶ φιλάδελφον ἀδελφὸν σπλάγχνοις ἀδελφικοῖς ἀπηνθράκωσεν.

26 Ἀλλ᾽ ἀναβαίνεις ἐφ᾽ ὕψους· πρόσω γὰρ τῆς βαρβάρου χωρεῖς καὶ μεγάλην αἰχμαλωτεύεις | ʽαἰχμαλωσίανʼ· τὸν γὰρ ἀδελφιδοῦν μετὰ καὶ τοῦ 422v] πατρὸς ὁ ἐμὸς Ἀβραὰμ ὡς νότος ἐν χειμάρρῳ μετέστρεψας, καὶ χαίρεις τὰ μεγάλα καὶ θύεις τὰ χαριστήρια καὶ ὡς ἀπὸ μεγέθους τὰ τῆς ἡδονῆς οὐκ ἀδάκρυτα.

Τίς ποτε ἄρα λόγος ἦν ἐν οὐρανῷ; τίς ποτε ἀγγέλων τὸν ἐμὸν Ἰὼβ ἀνεκήρυξεν; ὡς ἐπύρωσε μέν σου τὰ σπλάγχνα καὶ ἐπείρασεν ὁ τῆς μισαδελφίας ἀρχάγγελος. ἀλλ᾽ οὐχὶ καὶ εἷλε, καὶ ʽλύκος χανὼνʼ ἄπρακτα καταβέβληται. φαντάζομαι τὸν Δαυὶδ μετὰ τοῦ πνεύματος καὶ τῆς τοῦ πνεύματος κινύρας τὰ τῆς φιλαδελφίας σοι προσεπᾴδοντα· ἔνθεν τοι καὶ ἀποδεκατοῖς σου τὰ λάφυρα τῷ πρώτως ἀρχιερεῖ καὶ ὡς ἀληθῶς Μελχισεδὲκ καὶ εἰρήνην εὐαγγελίζῃ τῇ πόλει κυρίου Σιὼν καὶ λαμβάνεις ἄρτον οὐράνιον ψυχὴν ἀνθρώπων στηρίζοντα, ὃν ὅλον εἰσοικισάμενος ἔνδον ἐπὶ ψυχῆς διά τε τὸ φιλάδελφον καὶ ὅλως φιλάνθρωπον ἐπευλόγησας, καὶ γέγονας τοῖς βαρβάροις τὰς χεῖρας ἀπρόσμαχος.

Σὺ μὲν Ἰσαύρους ἐστρόβεις καὶ Παμφυλίαν ἐστρόβεις καὶ Κίλικας συνεστρόβεις, τὰ δὲ τῆς φήμης ὠκύπτερα τὸ τῶν Ἀσσυρίων Σκυθικὸν περιίπταται, καὶ ὅσον Ἀρράβιον ἔφθανε τὴν διάπειραν τὰ τοῦ δέους πρὸ τῆς μάχης τὸν μαχητὴν ἐφαντάζοντο, πρὸ τῆς πολιορκίας τὴν ἅλωσιν ἐμαντεύοντο.

27 Ἀλέξανδρον μὲν οὖν Δαρεῖος ʽἐθάρρησεʼ καὶ τὴν μάχην ἐτόλμησε, καὶ ἀνανδρίαν κατεψηφίσατο, οἷς οὐ θᾶττον ἐχειρώσατο Κίλικας· σοῦ δὲ τὸ τάχος μικροῦ καὶ πρὸ πολέμου τοὺς Πέρσας ἐπόρθησεν. ταῦτ᾽ ἄρα συστάδην μὲν οὐ παρεκινδύνευσαν, ἀλλ᾽ οἱ μὲν ἐκπεφεύγεσαν, οἱ δ᾽ εἰς ἀπορρῶγας πέτρας ἐχώννυντο καὶ σκέπην εἶχον ὁπόσα τῶν τειχέων ἀμφίκρημνα.

Σὺ δὲ ἧς ʽτὸ τοῦ Ἰακὼβ ὑπόλειμμα ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν κτήνεσι καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτωνʼ. διῆλθες ʽκαὶ διαστείλαςʼ ἥρπασας, καὶ οὐκ ἦν ʽὁ ἐξαιρούμενοςʼ. διῆλθες μὲν τὰ τῶν Ἀρράβων πολίσματα, διέστειλας δὲ τὴν καὶ μεγέθει καὶ κάλλει τῶν ἐκεῖσε προὔχουσαν πόλεων, καὶ ὡς λέων ἐλάφυξας. ὀφθαλμόν, ὦ βασιλεῦ, τῆς ὅλης Ἀρραβίας ἐξώρυξας, χεῖρα Περσικῆς ἰσχύος ἀπέ-

κοψας, κάλλος δυσμενοῦς ἀφείλου σώματος, ὅλην κεφαλὴν βαρβάρων ἀπήραξας. ὑπὲρ τὰς πολυχρύσους Μυκήνας ἡ πόλις πολύχρυσος, ὑπὲρ τὸ Λινδίων ὄλβιον ἄστυ πολύολβος. εἰ ποιητὴς ἐκείνην εἶδε τὴν πόλιν, ὁπόσον εἶχεν ἀργύρου καὶ ὅπως ὑπερχειλὴς ἦν χρυσοῦ καὶ τῆς ὡς ἄλλως τύχης εὐδαίμονος, ἐκεῖσε ἂν οἶμαι τὸ χρυσοῦν νέφος μετήνεγκε καὶ ὡς ἀπὸ 'ξανθᾶν νεφελᾶν' ὁ χρυσὸς ἐψεκάζετο. τὰ τῶν μαχητῶν, ὅλον στρατόπεδον, οἱ τῆς ἄλλης ἡλικίας — θᾶττον ἂν καὶ κάμῃ τις ἀριθμούμενος.

Ἀλλά σου τὴν δεξιὰν ἡ μὲν πόλις εἶδεν ἄμαχον οἱ δ' ὑπὸ σὲ μεγαλόδωρον· καὶ ἀπεκλήρωσας ὡς πάλαι τὴν Ἔδεσσαν Ῥωμαίοις ὁ Λεύκιος, μετὰ δὲ σὲ τὸν Ἀλέξανδρον ἐπεκρότησε καὶ Πῶρος ὁ πρὸ μικροῦ σοι σατραπεύσας μετὰ τὴν τοῦ σοῦ κράτους ἐπίγνωσιν, καὶ τῆς εὐνοίας ὅλα ἔθνη ἀντικεκόμισται, καὶ κληροῦχος πολλῶν γίνεται πόλεων.

Ἀλλὰ 'ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει'· ὑπὲρ τοὺς 28
Ἀχιλλέως καλλίτριχες ὑπὲρ τοὺς Αἰνείου τοῦ ἐκ Διὸς ξανθοκάρηνοι. φεῦ τῆς κόμης, ὡς περιήνθισται· φεῦ τῶν ποδῶν, ὡς ἐπτίλωνται. Εὐφράτης αὐτοῖς τὰς κόμας ἀπέλουσεν· ἐκεῖθεν οὗτοι χαιτήεντες ἐκεῖθεν οὗτοι 'χιόνος λευκότεροι'.

Ἀλλ' ὡς πολὺ καλλίους τούτων οἱ ἵπποι σου, ὦ βασιλεῦ, δι' ὧν καὶ τούτους Ῥωμαῖοι ληΐζονται· τούτους σὺ 'τοὺς ἵππους ἐπεβίβασας ταράσσοντας' ὕδατα, καὶ τῶν Εὐφράτου πηγῶν ἔπιον, καί σοι τὰ τῶν Ἀσσυρίων
423| ἐκπέποται. | πολλοῦ γε τοῦ χρόνου, Χριστὲ βασιλεῦ, οὐκ οἶδεν Εὐφράτης Αὐσόνιον ἄνακτα, οὐ 'Ῥωμαϊκὴν ἵππον ἐδέξατο, ἀλλ' ἐπωρχοῦντο καὶ κατωρχοῦντο γλυκίου ποταμοῦ γλυκέων ναμάτων ἄνδρες ἁλμυροὶ τὴν ἀσέβειαν.

Ὡς εὐδαίμων ἡ ἵππος ἐκείνη, εὐδαίμονες καὶ οἱ τὴν ἵππον ταύτην ἱππασάμενοι καὶ τῆς τοσαύτης βαρβάρου καθιππασάμενοι. μακάριος καὶ σὺ ὁ νικήσας τὰ ἀνέλπιστα καὶ στρατηγήσας τὰ ἀπροσδόκητα. ὅση μὲν ἡ ἵππος ὅσα δὲ τὰ ποίμνια ὅσα δὲ τὰ βουκόλια. ὑπὲρ 'τὰς Γηρυόνου βοῦς' ὑπὲρ τὰ τῶν Κυκλώπων αἰπόλια. ἄνδρες δ' αἰχμηταὶ καὶ γυναῖκες βαθύζωνοι καὶ παῖδες ἀττάλλοντες, ὁπόσους μηδ' ἄν τις ἐκ μυρίων ἐπεσώρευσε πόλεων.

Ἐδέξατό σου τὴν ἀπὸ τῶν ὅπλων σελάγησιν καὶ μεγίστη πόλις Ἀσσύριος 29

ὡς κεραυνοῦ ἐκπυρήνισμα ὡς ἀστραπῆς ἔξαλμα, καὶ κατήστραπται. εἶδέ σου τὴν στεροπὴν τῆς αἰχμῆς καὶ οὐκ ἤνεγκε τὸ ἀπρόσβλεπτον. οὐχ οὕτως Ἀχιλλέα Τρῶες ἐρρίγησαν, ὡς ἐκεῖνοί σε καὶ τὴν σὴν αἰχμὴν ἐπεφρίκεσαν. σμικρά μοι λέγεις, Ὅμηρε, θαύματα· σμικρὰ μεγάλοις ἀμφιάσας ἐπετραγῴδησας ἔπεσιν· οὐ πάνυ τι πολλοὶ πεπτώκασιν τοῦ σοῦ διογενοῦς ἐπιλάμψαντος ἥρωος, τὸ δὲ νῦν ἐμὸν θαῦμα ὁ αὐτοκράτωρ καὶ τότε τοῖς βαρβάροις σελάγημα φόνιον οὐκ ὀλίγους μικρὸν ἀντωπῆσαι τολμήσαντας ὡσεὶ χλόην ἐμάραινε καὶ ὡσεὶ χόρτον κατέφρυγε.

**30** Πληθὺν δ᾿ οὐκ ἂν ἔγωγε μυθήσομαι πόλεων, ὁπόσας ἀφείλου καὶ περιέκοψας τὸ ἀντίπαλον· ὁ δὲ τοῦ δράματος καὶ κακῶν τοῖς ἐχθροῖς κολοφὼν καὶ σοὶ τῶν πρὸ τοῦ χρυσέων μεγαλουργημάτων χρύσεος ὄροφος πόλις ἑτέρα καὶ αὕτη βάρβαρος, καὶ οἱ δόμοι βαθύπλουτοι, καὶ ὁ φύλαξ οὐκ εὐαρίθμητος· παρέρρει καὶ ποταμὸς τὸ ῥεῖθρον ἀγχιβαθής, οὐκ εὐχερὴς τὴν περαίωσιν· τεῖχος ἦν ἐκεῖνο ὑδάτινον καὶ τάφρος ὡς εἰπεῖν αὐτολάξευτος. θαρροῦσι τῷ τοῦ ῥεύματος ὀξεῖ τῷ τοῦ στρατεύματος παμπληθεῖ, καὶ οὐδὲ μέχρι τούτων ἐκείνων ἡ ὀφρὺς καὶ τὸ φύσημα, ἀλλ᾿ ἤδη καὶ τὸ ῥεῦμα διαπεραιοῦνται καὶ ὡς ἐπὶ τὴν περαίαν ἀντιστρατεύουσι καὶ ξυντάττουσι φάλαγγας καὶ λόχους καθίζουσι, καὶ δέχονται τὴν ἐπέλευσιν καὶ οὐ δεδοίκασιν τὴν ἀπέλασιν.

Ἀλλ᾿ ἐπέρραξας αὐτοῖς μικρόν τι τοῦ ἀγήματος, καὶ κατέρραξας, καὶ τὸ τῶν φαλαγγωμάτων βάθος ἐλέπτυνας καὶ τὴν τοῦ λόχου παρέλυσας σύμπηξιν· καὶ βραχὺ μὲν ἐπιστάντες ταχὺ δὲ ἀποστάντες, καὶ πολλὰ μὲν παθόντες ὀλίγα δὲ δράσαντες, στρέφουσι τὰ μετάφρενα τὰ νῶτα κλίνουσι, καὶ γίνονται τοῖς βάλλουσιν ἑτοιμότρωτοι.

Φρικωδεστάτην δὴ πασῶν μάχην ἐκείνην εἶδεν ὁ ἥλιος· οἱ μὲν ἐδραπέτευον, οἱ δ᾿ ἔστενον, οἱ δ᾿ ἔπιπτον, οἱ δ᾿ ἔμελλον· μυρίον εἶδος τότε πολέμου καὶ τραγῳδικῆς συμφορᾶς τοῖς ἐχθροῖς ἐπεκώμασεν. ἐκεῖ τότε 'οἱ τοῖς ἵπποις ἐπιβεβηκότες', τοῦτο δὴ τὸ τῆς γραφῆς, ἐπενύσταξαν, ἐκεῖ τότε ὁ τοξότης οὐχ ὑπέστη, καὶ ὁ κραταιὸς οὐκ ἐκράτησεν τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς τὴν ῥομφαίαν οὐκ ἔφυγε· τότε δὴ τότε ὅλος ποταμὸς τοῖς τῶν πεσόντων λύθροις ἐβάπτετο.

Τοιαύτην Αἰγυπτιακὴν ἐκαινούργησας μάστιγα, οὕτως εἰς αἷμα τὸ ὕδωρ μετέβαλες ὁ Μωυσῆς ὁ ἐκλεκτὸς κυρίου καὶ τὸν νέον ὁδηγῶν Ἰσραὴλ ἐπὶ γῆν ἐκείνην, ἣν πάλαι μὲν θεὸς Ἀβραὰμ ἐπηγγείλατο, σὺ δὲ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/74 UNIVERSITÄT LEIPZIG

423ᵛ] νῦν τοσαῦτα τῷ ξίφει τερατουργῶν, ὁπόσα τῇ ῥάβδῳ Μωυσῆς, | ἀπεκλήρωσας.

Εἰ δὲ καὶ ποταμὸν ἡ φύσις ἐδίδου φθέγγεσθαι, τάχα σοι καὶ τοιαύτην ἀφῆκε φωνήν, ὁποίαν Ἀχιλλεῖ Σκάμανδρος· «ὦ βασιλεῦ, ʻπερὶ μὲν κρατέεις, περὶ δʼ αἴσυλα ῥέζεις᾿· εἴ σοι βαρβάρους θεὸς ʻἔδωκε πάντας ὀλέσαι, ἐξ ἐμέθεν ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε᾿· τὸ γάρ μοι ῥόθιον ἅπαν ὑπὸ τοῦ τῶν πεσόντων πλήθους ἐμπέφρακται.»

Μετὰ δὴ ταύτην τὴν περίδοξον μάχην καὶ νίκην χωρεῖς ἐπὶ τὸ ἔρυμα, καὶ τὸν περὶ ψυχῆς οἱ βάρβαροι τρέχουσι· τὰ ἕρκη ἐσείοντο· τὸ κακὸν ἐν ὀφθαλμοῖς, καὶ ʻἡ πόλις ὀρθὴ καὶ περίφοβος᾿· μετάμελοι ἐπὶ τούτοις ἱκετηρίαι, δάκρυα καὶ τἆλλα, ὅσα δυστυχοῦσα φύσις ἱκετηριάζεται· καὶ πρὸς οἶκτον ἐπικλᾷ τὸ πολέμιον, ἀλλά σου καὶ δώροις τὴν δεξιὰν ἐπικάμπτουσι καὶ τὸ ἀντίμαχον μεταβεβλήκασιν ἐς τὸ ὑπόφορον.

Τάδε σὲ καὶ ὡς βασιλέα φαίνουσι καὶ ὡς φιλόχριστον ὑποφαίνουσι· λίθοι πολύτιμοι τῶν πολιορκητῶν ἐκείνων λίθων ἀπόγονοι, μαρμαίροντες μάργαροι τῆς ἀπὸ τῶν ὅπλων σου μαρμαρυγῆς ἔξαλμα, χρυσὸς καὶ ἄργυρος τοῦ σοῦ κράτους ἐπίσημον ξύμβολον, ἵπποι τῶν εὐγενῶν τῆς σῆς ἵππου δρομήματα καὶ συλήματα. ταῦτά σου τὸ ἀνδρεῖον μηνύουσι ταῦτά σου τὸ βασιλικὸν εἰκονίζουσι· τὰ δʼ ἐντεῦθεν εἴης ἂν ὁ φιλοχριστότατος, καί σου τὴν εὐσέβειαν σταυρικὸν ἀνεκήρυξε σύμβολον ἐκεῖνο τὸ καὶ τὴν φαινομένην ὕλην ὑπέρτιμον καὶ τὴν ἐνεργουμένην δύναμιν ἀνυπέρβλητον.

Τί ταῦτα ὑμῖν, ὦ βάρβαρος, βούλεται; τί δὲ μὴ χρυσὸν καὶ ἄργυρον, **31**
ὁπόσος ἐν σκεύεσιν, ἀποτίννυτε; ἀλλά μοι δοκοῦσιν ἐκεῖνοι κατὰ τὸ τῆς ἠχοῦς ὑστερόφωνον ἀντιφθέγγεσθαι δικαιότερον καὶ σοφώτερον· «οὐ χρημάτων οὗτος ὁ βασιλεὺς ἔραται οὐδὲ χρυσὸς αὐτῷ ποτε τὴν αἰχμὴν ἀπαμβλῦναι δυνήσεται· εἰ δʼ οὖν ἀλλʼ ἐκπολιορκήσει μετʼ οὐ μακρὸν καὶ αὐτοῖς ἀνδράσιν καθέξει τὰ χρήματα.»

Ἑτέρου φαρμάκου τὸ λοιπὸν ἡμῖν χρεία, ἕτερον μηχανητέον δεσμὸν ἄλυτον· σταυρὸς ἡμῖν ὕπεστι, Ῥωμαϊκὸν τὸ κτῆμα Χριστοῦ τὸ χρῆμα, δαίμοσι φοβερὸν Χριστιανοῖς ἀπαράβατον. ἂν ⟨τις⟩ ἴδῃ τὸν τύπον, ἐφʼ οὗ Χριστὸς ἐσταύρωτο, μεθʼ ἡδονῆς δακρύσει σεβάσεται περιπτύξεται, κατασπάσεται πᾶν ὅ τι καὶ πρὸς εὐσέβειαν χρήσεται. ἂν γνοίη τὰ γράμματα καὶ προσεπιγνοίη τὸν ὡς οὐράνιον ὅπλον τοῦτο πάλαι κατὰ βαρβάρων ἀράμενον, προσθήκη γένοιτʼ ἂν αὐτῷ θαύματος.

Φιλόχριστός ἐστιν, μεγαλόψυχός ἐστιν, τιμήσει τὸν Ἰησοῦν ἐν σταυρικῷ τῷ τυπώματι, φιλονεικήσει τοῦ μεγάλου Κωνσταντίνου μηδὲν ἀπολελείψεσθαι τὸ φιλόχριστον. κἂν δύνηταί τι παρ' αὐτῷ καὶ τὰ χρήματα, ἀλλ' ἀπὸ χρυσοῦ κεκρότηται, καὶ πολὺς ὁ ἄργυρος ἐνσεσήμασται, καὶ ὡς ἀφ' ἑνὸς λίθου λελάξευται, καὶ λυχνίτης ὁ λίθος τὸ τιμιώτατον· τοῦτον ἀσπάσεται καὶ φοβηθήσεται τὴν παράβασιν, καὶ ὑμᾶς οἰκτίσει καὶ ἀντιχαρίσεται τὸ ἐλευθέριον. ὡς ἄρα σου καὶ τὸ ἀνδρεῖον οὐκ ἄγνωστον καὶ τὸ φιλόθεον οὐκ ἀνήκουστον, ἀλλ' ἔχεις καὶ τοὺς δυσμενεῖς ἐπιμαρτυρομένους ἄμφω καὶ τοῖς ἔργοις κηρύττοντας.

Τί λέγω τοὺς δυσμενεῖς; ἀλλ' ὁ θεὸς αὐτός, ὡς πάλαι Κωνσταντῖνον τὸν μέγαν, οὕτω καὶ νῦν σε τοῖς αὐτοῖς παραθαρρύνει κατὰ Περσῶν καὶ τὴν νίκην παρεγγυᾶται καὶ προμνηστεύεται· ἀπὸ | γὰρ τῶν ἐν ξυμβόλῳ γραμμά- 424]
των ἀτεχνῶς, ὡς ἀπ' οὐρανοῦ, προσεπιβοᾶταί σοι· «τοῦτό σοι τὸ ὅπλον οὐράνιον, ἐν τούτῳ καὶ σὺ νίκα νῦν τοὺς ἐχθροὺς ὡς ἐκεῖνος τὸ πρότερον».

32 Τί μοι τὸν Ἀλέξανδρον ἀποθαυμάζεις, Καλλίσθενες, καὶ τὸ προσπεσὸν ἅπαν ὅ τι καὶ τύχοι τῆς ἐκείνου τύχης ἀποφοιβάζεις τεκμήριον; σὺ τὸν ἱμάντα τὴν σφαῖραν, τὸ χρυσοῦν καὶ χρυσοῦ κιβώτιον ὡς ἐπὶ τὸ μέλλον ἀνάγεις καὶ ἀπομαντεύῃ μεγαλειότερον ὅσα καὶ ἐπὶ γέλωτι Δαρεῖος ἔστειλε καὶ ὡς παιδάριον ἐμυκτήρισε καὶ ὡς πένητα προσωνείδισε, καὶ τερατεύῃ τὰ μείζω προσημαινόμενος, ὡς δεῖ μὲν αὐτὸν ἁπάσης ἄρξαι γῆς, ἐπεὶ τὸ σχῆμα ἐσφαίρωται, μαστῖξαι δὲ καὶ περιάξαι ὡς ἀπὸ φορβειᾶς τινος καὶ μάστιγος τοῦ ἱμάντος πάντας Πέρσας, πάντας βαρβάρους αὐθαδειαζομένους ἀγέρωχα καὶ ὡς πώλους ἀφηνιάζοντας, χρυσὸν δὲ λήψεται καὶ φορολογήσει τὸ βάρβαρον.

Ἀλλ' ἔχω κἀγὼ θεοσημίας ἑτέρας πολὺ τούτων εὐσεβεστέρας· ἀλλ' ἔχω δῶρα ἕτερα πολὺ πρὸς ἀλήθειαν ὑπερβάλλοντα, μονονοὺ βλέπω τὰ γενησόμενα. ἐκεῖνα τὰ σὰ καὶ τοῦ σοῦ Μακεδόνος Πέρσης ἐδωρεῖτο γελῶν καὶ καταμωκώμενος βάρβαρος, ταῦτα δὲ βάρβαρος μέν, ἀλλ' ἱκέτης ἀλλ' ἔνδακρυς ἀλλ' ὑπότρομος. τὰ δὲ χρυσᾶ καὶ ὅσα τῶν δώρων βασίλεια βασιλέα Περσῶν τὸν ἐμὸν ὑπογράφουσιν αὐτοκράτορα, ἡ δὲ τράπεζα ὡς τραπέζης τῆς Περσίδος εὐωχήσεται, καὶ τοῦ σταυροῦ τὸ τετραμερὲς ὡς ὑπὸ τούτῳ καθοπλισάμενος ἀδιάπτωτος ἔσται τὴν βάσιν καὶ τὸ ὅλον τετράγωνος καὶ τοῖς ἐχθροῖς ἀπερίτρεπτος, καὶ μὴν καὶ τέτρασι πέρασι περιγραφόμενον κόσμον ὑπὸ χεῖρα θήσεται, καὶ βασιλέα κηρύξει Χριστὸν ὡραίοις ποσὶν ἁπανταχῇ διαθέων καὶ τοῖς γε μὴ ἐθελοκωφοῦσι σωτηρίαν προτείνων καὶ εἰρήνην εὐαγγελιζόμενος. ὁ μέντοι λυχνίτης λίθος αὐτήν μοι τὴν

*νοητὴν λυχνίαν προφαίνειν καὶ προηγεῖσθαι τῆς παρεμβολῆς ὑπαινίττεται. ὡς ἐπὶ Μωσέα πάλαι στύλος πυρὸς καὶ νεφέλη φωτίζουσα, οὕτως ἐγώ σοι, ὦ αὐτοκράτορ, τὰ κατὰ Περσῶν οἰωνίζομαι τρόπαια τῶν Καλλισθένους σοφώτερα, τῶν Ἀλεξάνδρου σεμνότερα, καὶ τοῖς μετὰ ταῦτα ψευδόμαντις οὐκ ἐλέγχομαι.*

**33** *Ἐπεὶ γὰρ ἱκανῶς ἐληίσω τὴν βάρβαρον καὶ τέλος εἶχέ σοι τὸ στρατήγημα, παλινοστεῖς αὖθις ἐπὶ τὴν φίλιον. ἀλλά σοι οὐδὲ τὰ τῆς παλινοδίας γυμνὰ κατορθωμάτων οὐδὲ βαρβαρικῶν αἱμάτων ἄγευστα· ἀλλὰ συντάττεις τοὺς λοχαγοὺς τοὺς οὐραγούς, ὁποῖος αὐτὸς εἰς προμήθειαν, καὶ διανύεις συντεταγμένος καὶ εἰς οὐδὲν ἀπροβούλευτος (στρατηγικόν σοι καὶ τοῦτο· ζῆλος Ἑλλήνων τὸ πρᾶγμα καὶ Ξενοφώντειον αὔχημα, ὃς οὐ πρότερον τὴν τάξιν διέλυσε, πρὶν ἢ τῆς Ἑλλάδος ἐφίκοιτο)· ἔνθεν τοι καὶ γίνονταί σου τῆς εὐβουλίας οὐκ ὀλίγοι τῶν δυσμενῶν ἄβουλον θήραμα· ἐπιτίθενται μὲν γὰρ ὡς τάχος ἐξ ὀπισθίων φοβήσοντες, ἀλλὰ τῶν ἐλπίδων ἐψεύσαντο καὶ μετὰ τῶν ἐλπίδων ἔπεσον αὐτοῖς καὶ τὰ σώματα. καὶ λαμβάνεις κράτος ἐνόδιον καὶ στρατηγεῖς οὐκ ἐλπιζόμενον πόλεμον.*

*Ὡς εὐκαίρως ἄν τις καὶ ταῦτά σοι προσεπᾴσαιτο· ʽἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν· ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν᾽, συνελήφθησαν. οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπὸ σοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν ἀπὸ σοῦ· ʽἥκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως, ἥκασιν αἱ ἡμέραι τῆς ἀνταποδόσεως᾽· ʽἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι᾽, πεπτώκασιν |* 424v] *βάρβαροι δείλαιοι τῆς ἐφόδου, δειλαιότεροι τῆς φυγῆς· φθάνεις καὶ φεύγουσιν, ἐφορμῶσι καὶ πίπτουσι. ποῖ σε καὶ φεύξονται; τί καὶ ἀντιτεχνάσονται; ἐπὶ κορυφὰς ὀρέων ἀνατρέχουσι καὶ οὐ πεφεύγασι· πεποίθασιν ταῖς πόλεσι καὶ ἁλίσκονται· θρασύνονται καὶ μικρὸν καὶ πεφόβηνται· ἀντιμέτωποι μάχονται καὶ βιαιότερον βάλλονται· ἐπ᾽ οὐρανὸν ἐπιτίθενται καὶ δακρύουσι τὴν ἐπίθεσιν ἀστρατήγητοι καὶ ἀμύητοι τῶν τοῦ αὐτοκράτορος στρατηγημάτων. βάρβαροι, τί καὶ βάλλετε τὸ μετάφρενον; ʽ ὄφεις, γεννήματα ἐχιδνῶν᾽, τί καὶ τὴν πτέρναν τηρεῖτε καὶ τοῖς ὀπισθίοις ἐξ ἀφανοῦς ἐπιτίθεσθε;*

*Ὑπὲρ τὸν Σερτώριον ἐκεῖνον ὁ αὐτοκράτωρ τὴν στρατηγίαν εὐμήχανος καὶ τὸ μετάφρενον τοῦ λόχου φυλάξεται καὶ τὸ μέτωπον τῆς φάλαγγος περιφράξεται, καὶ προσεπελαύνων φοβήσει καὶ παλινοστῶν λοχήσει, ὡς ἐκεῖνος πάλαι Σκηπίωνα.*

Τί ὅτι καὶ θρασύνεσθε; τί ὅτι τοσοῦτον ὑμῖν τῆς ἵππου τὸ ῥόθιον; ἐπὶ κακῷ τῶν ὑμετέρων κεφαλῶν ἐσπουδάκατε· ὡς ἰχθύες εἰς πάναγρον αὐθόρμητοι ἐμπεσεῖσθε, ὡς κύνες ἐφορμήσεσθε λέοντι· κἂν καταλάβητε, διασπαράξεσθε, κἂν ἐπιθήσεσθε, καταβληθήσεσθε, κἂν καταδιώξησθε, ἐκεῖνο τὸ παρ᾿ Ὁμήρῳ κακὸν ἄμαχον τοῖς ἐχθροῖς καὶ πανταχόθεν ἀπόλεμον καταλήψεται· πρόσθεν ὡς λέων φοβήσει τὸ πολέμιον βρυχησάμενος, ὄπισθεν ὡς δράκων ἐκπλήξει τοῖς ἀπὸ τῶν λόχων ἑλιγμοῖς καὶ κυκλώμασιν, τὰ δὲ μέσα πολὺ τὸ πῦρ τοῦ τῆς φάλαγγος ἀποπνεύσει στόματος.

Οὕτω σοι, ὦ βασιλεῦ, καὶ τὸ στρατηγικὸν εὐμήχανον καὶ τὸ εὐμήχανον πολυμήχανον. ὑπὲρ τὸν Γρατιανόν σοι τὰ βέλη ἐψύχωται, ὑπὲρ τὸν Ὀροίσδαν τὸν Πέρσην, τὸν ἀκοντιστὴν ἐκεῖνον τὸν εὔστοχον, πέτεταί σου τὸ ʽδόρυʼ ἐπίσκοπα καὶ ὡς ʽπαλάμῃσι μαίνεταιʼ. τίς ποτε τὸ σὸν ἔγχος εἶδεν ἀναίμακτον; τίς ποτε τὴν δεξιὰν ἀπόλεμον; εἰ μὴ τὰ τῆς γραφῆς λέγεις δοράτια, εἰ μὴ τὴν ἐπὶ χρώμασιν δεξιάν, εἰ μὴ τὸν ὁμωνύμως βασιλέα καὶ μαχητήν, τὸν ἐν εἰκόσι τὸν ἐν σκιαῖς, ἐκεῖ σοι μονονοὺ τὰ ὅπλα αἱμάσσεται.

34 Ξίφος παρὰ Ῥωμαίοις ὁ Μάρκελλος καὶ θυρεὸς αὖθις ὁ Φάβιος· ὁ μέν, ὅτι κατὰ στόμα τοῖς πολεμίοις ἐπήραττεν, ὁ δ᾿ ἀσφαλέστερα στρατηγῶν καὶ τὸ παθεῖν φυλαττόμενος. εἴη δ᾿ ἂν κἀκεῖνο θηριῶδες καὶ θράσος ἀλόγιστον, καὶ τοῦτο προφυλακή τις τὸ γενναῖον οὐκ ἔχουσα, εἴ γε μετὰ τοῦ παθεῖν καὶ τὸ δρᾶσαί τι τοῖς ἐχθροῖς προσαφήρηται.

Σὺ δ᾿ ἀλλὰ καὶ θρασύνῃ τὰ σκοπιμώτατα καὶ προφυλάττῃ τὰ καιριώτατα, καὶ δρᾷς ἀπάθητα καὶ στρατεύεις ἀνίκητα. πυρὶ τὰς χεῖρας ἐγώ σου παρείκασα, καθαρὸν ἐχούσας οὕτω τὸ δραστικὸν καὶ δίχα παθήσεως· οἱ δ᾿ ἄλλοι λέβητες ἂν εἶεν τὸ εἰκαζόμενον, οὐκ ὀλίγα πρότερον ὑπὸ τῶν δυσμενῶν ἐκπυρούμενοι καὶ μόλις τὸ φλέγειν καὶ μετὰ πολλὰς τὰς προπαθήσεις ἐσύστερον κομιζόμενοι· ὅθεν ὑπὸ μὲν τῶν, εἰ τύχῃ, πολλάκις εἰς ἧτταν ἐξεπυρώθησαν, ἑτέροις δὲ τὴν πύρωσιν ἐφυλάξαντο· καὶ τοῖς μὲν ἐπέβαλον μαχιμώτερον, τοῖς δ᾿ ἐπέθεντο μαλθακώτερον λίθοις ἁμαξιαίοις.

35 Ταρκύνιος τὴν πάλαι Ῥώμην ἀπέξεσε καὶ Τύλλιος ἐκεῖνος δύο λόφους | 425] τῇ πόλει προσέθηκε. σὺ δ᾿ ἄν μοι δοκῇς ἐκεῖνα τὰ τοῦ Παιανιέως αὐχήσειν παρὰ πολὺ δικαιότερα· «ʽοὐ λίθοις ἐτείχισαʼ τὴν ἐμὴν Ῥώμην οὐδὲ λόφοις ἐγώ, ʽοὐδ᾿ ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶʼ, ἀλλ᾿ ὁ ἐμὸς τειχισμὸς ὅπλα καὶ βέλη καὶ ἵπποι, ὅλα ἔθνη βαλλόμενα καὶ ὑποκύπτοντα.

ταῦτα προὐβαλόμην ἐγὼ τῆς βασιλίδος τῶν πόλεων· τούτοις τὴν ἐμὴν Ῥώμην ἐτείχισα· ἐπὶ τούτοις καὶ γέγηθα καὶ τρέφω τι καὶ φρονήματος.» ἀλλὰ γὰρ ‘δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς ἀνταναιρῶν πολέμους μέχρι’ Εὐφράτου καὶ Τίγρητος· δεῦτε καὶ σύνετε ‘καὶ γνῶτε, ὅτι τὸν ὅσιον αὐτοῦ κύριος ἐθαυμάστωσε’. προσεπᾴδει σοι Δαυὶδ καὶ ταῦτα τῷ ἐμῷ βασιλεῖ· ἐχιονώθης ἐν Σελμὼν καὶ οὐκ ἔδωκας ‘εἰς σάλον τὸν πόδα σου’ καὶ οὐκ ἐφύλαξεν ‘ὁ φυλάσσων σε’. προσεπᾴδει καὶ Σολομῶν καὶ ἀποσεμνύνει σου τὸ ἄτρυτον καὶ φιλόπονον· ‘ἡ κεφαλή’ σου ‘ἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί’ σου ‘ψεκάδων νυκτός’.

Σὺ γὰρ καὶ τὸν καύσωνα τῆς ἡμέρας ἐβάσταξας, σὺ καὶ νιφετοῖς παραβαλλόμενος οὐκ ἀπέκαμες, καὶ βέλη ἐπὶ βέλεσιν ἔφερες, τὰς ἀπ’ οὐρανοῦ νιφάδας τοῖς ἐκ τῶν πολεμίων τοξεύμασιν· καὶ ὡς ἡδέως ὑπὲρ τῆς Χριστοῦ ποίμνης ἤνεγκας καὶ καιρὸν φλέγοντα καὶ ὥραν χειμαίνουσαν.

Ἐγώ σε καὶ Ἀὼδ ἀμφιδεξιώτερον ἀποφαίνομαι· μόνον ἐκεῖνος ἕνα τύραννον Μωαβίτην ἀπέκοψε, σὲ δ’ ἀνέστησε κύριος, καὶ ἡμᾶς, τὸν αὐτοῦ κλῆρον, δι’ ἁμαρτιῶν ἐρριμμένους ἐπὶ γῆς ξυνανέστησε. καὶ σὺ πολλοὺς καθεῖλες δυνάστας καὶ ἐπὶ πολλῶν κεφαλὰς ἀνόμων ἔβαλες θάνατον. ἐκπεπόρθηταί σοι καὶ ὅσον Ἀσσύριον βάρβαρον, καὶ Δαυὶδ ἐγώ σε τοῦτο τὸ μέρος τίθεμαι· ὡδήγησας μὲν ἡμᾶς ἐπὶ γῆν τὴν μακαρίαν, τὴν ἐπηγγελμένην, καὶ οὐδ’ ἐνταῦθα Μωσέως ἀποφέρῃ τὰ δεύτερα. εἰς τοῦτον ἐγώ σε περιστῶ τὸν κατάλογον· μετὰ Ἀὼδ περικροτῶ μετὰ Δαυὶδ προσκυνῶ μετὰ Μωσέως σεβάζομαι· τηλικούτοις σε τοῖς θαυμασίοις θεὸς ἐστεφάνωσεν. ἐπὶ τούτοις καὶ πᾶς ὁ οἶκος Ἰακὼβ ἐπεκρότησε καὶ ἦχος ἑορταζόντων ἁπανταχοῦ καὶ εὐφροσύνη ἐπὶ τοῦ ὀνόματός σου καὶ ἀγαλλίασις.

Ἀλλ’ ἦν ἄρα ἡ μεγαλόπολις ἡ Ἀντιόχεια θερμή τις ἀρχῆθεν, ὡς ἔοικεν, **36**
εἰς εὐσέβειαν καὶ πολὺν τὸν εἰς Χριστὸν ἔρωτα σῴζουσα. καὶ τότε μοι ὑπὲρ τὰς ἄλλας ἁπάσας τῶν πόλεων τὸν ἀληθῆ καὶ θεὸν καὶ βασιλέα Χριστὸν ἐτίμησεν ἄρτι τοῖς ψευδωνύμοις θεοῖς τε καὶ ἀποστάταις δαίμοσιν οὐρανόθεν ἐπιστρατεύοντα· οἷς πρώτη τῶν ἄλλων, ὡς βασίλειόν τι διάσημον καὶ ὡς σφραγῖδα πολύτιμον, τὴν χριστωνυμίαν ἐδέξατο· καὶ νῦν δὲ τὰ αὐτὰ τολμᾷ, τῆς αὐτῆς θερμότητος ἔχεται καὶ ἐπὶ τὸν φιλόχριστον βασιλέα, τὸν ὡς ἥλιον πυραυγῆ ταῖς ἐκ τῶν βασιλείων ὅπλων ἀποπαλλομέ-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/79 UNIVERSITÄT LEIPZIG

ναις ἀστραπαῖς ὅλην σκοτόμαιναν βαρβαρικὴν διαλύσαντα, περιέλκει καὶ περιπλέκεται καὶ πρὸς ἑαυτὴν ὑφαρπάζει.

Ἐρᾷ ʽσου τοῦ κάλλουςʼ, θερμότερον περιπτύσσεται, δέχεταί σε ὡς φιλόχριστον, ὡς ἀθλητὴν κυρίου, ὡς κατὰ βαρβάρων ζηλωτήν, ὡς τὴν Ἠλιοῦ φοροῦντα μάχαιραν, καὶ καταψᾷ σου τοὺς ἱδρῶτας καὶ ἡδέως προσαγκαλίζεται. |

Ἐξεκέχυτο μὲν ὁ πολυάνθρωπος ἐκεῖ ἅπας δῆμος τοῦ ἄστεος, ἡλικία δὲ 425v] πᾶσα καὶ γένος ἑκάτερον λαμπρὰν ἐπετέλει σοι τὴν πομπείαν καὶ μέγαν ἦγε τὸν θρίαμβον· τίς ὡς ἄδρομον καὶ νωθρὸν τὸ γῆρας ἐμέμψατο τότε; καὶ ὅσον τῆς ἡλικίας παρθενικὸν καὶ θαλαμευόμενον ἐπεχόρευέ σοι τὰ ἐπιβατήρια καὶ ὡς ἐν ᾠδαῖς ἔπλεκέ σοι τὰ ἐφύμνια. καὶ ἦς ὁ ἐμὸς ʽΔαυὶδ ἐν μυριάσινʼ ᾀδόμενος· τὸ πολιτικὸν καὶ ὅσον οἰκουρὸν ἐπευφήμει, τὸ στρατιωτικὸν ἐπαιάνιζε. βοή τις ἦν ξύμμικτος καὶ πολύγλωσσος· ἐκεῖθεν ἡ Ἰταλὸς ἐνταῦθα ἡ Ἀσσύριος, ἔνθεν ὁ ἡμέτερος, ὀρθοεπέστερον καὶ ὀξύτερον, ὁ παιανισμὸς πηλίκος ὅσος, ὁ θροῦς ὄρθιος καὶ διάτονος καὶ τὰ τῆς εὐφημίας ὡς ἐκ διαδοχῆς ἐν τάξει καὶ ἀκατάπαυστα.

Ἐκαινοτομεῖτο καὶ τοὔδαφος καὶ ὡς ἐξ ὑφασμάτων τιμιωτέρων ὑπέστρωτο, μυρρινῶσιν ἐπάττετο· λειμών, ὡς ἄν τις εἴπῃ, τότε τὸ πεδίον ἐγίνετο, ἡ δὲ τῶν μύρων ὀδμὴ πρὸς τὴν τῶν ἀνθέων εὐωδίαν ἤριζε καὶ ἀέρα ἡδονῆς ἐκεράννυεν. ἔνθεν οἱ στρατηγοί, ἐκεῖθεν οἱ λοχαγοί, σὺ δʼ ἐν μέσοις διέλαμπες ἀστὴρ ἀριδηλότατος· οἱ δὲ τοῦ βήματος σοὶ μὲν ᾖδον εὐφημητήρια, τῷ δέ σε χαριτώσαντι θεῷ χαριστήρια.

**37** Ἀλλὰ νῦν ἡ μεγαλόπολις περιφύεταί σου τῷ τραχήλῳ θερμότερον, ζηλότυπός ἐστι περὶ τὸν αὐτοκράτορα, φθονεῖ πόλιν ἑτέραν ὁρῶσα περιπλεκομένην σε τὸν αὐτῆς θερμὸν ἐραστὴν καὶ νυμφίον φίλτατον· δάκνεται τούτοις ἐρῶσά σου διαπυρώτερον, οὐκ ἀνέχεται τῆς Ἀντιόχου λείπεσθαι τὸ φιλότιμον· ἦ πού σοι καὶ τοιαῦτα ἐπιμαρτύρεται· «ἀδικεῖς, ὦ βασιλεῦ, ἀδικεῖς πόλιν οὕτως εὐδαίμονα διὰ σὲ μὴ καὶ φιλότιμον ἀφεὶς γίνεσθαι· ἀδικεῖς οἷς οὐκ ἐπινεύεις τὸν θρίαμβον. οὐ φέρω μὴ στεφανοῦσα ἀθλητὴν τὸν ὑπὲρ Χριστοῦ καὶ τῆς ἐκείνου κληρονομίας κατὰ Χριστὸν καὶ νομίμως ἀθλήσαντα· οὐκ ἀνέχομαι χεῖρας ἀδικεῖν, ὑφʼ ὧν τὸ μὴ ἀδικεῖσθαι πρὸς βαρβάρων ἐκέρδησα. ἔα καταπάσσειν σου τοὔδαφος· μὴ γὰρ οὐκ ἔχω μυρρινῶνας πλείους ἤπερ ἐκείνη καὶ τἆλλα ὅσα τῶν ὑφασμάτων πολυτελέστερα; μὴ γὰρ οὐ πλεῖόν μοι τὸ εὔνουν καὶ περὶ τὸν εὐεργέτην

εὐχάριστον; διὰ σέ μοι καὶ ἡ ἐσθὴς ἡ χρυσόπαστος· οὐκοῦν μικρόν τι τῶν σῶν ἀπόλαυε· οὐ βούλομαί σου τοὺς πόδας τοὺς ὡραίους ἐπὶ γῆς ἰδεῖν, δι᾿ οὓς οὐ πατοῦσίν με βάρβαροι· ἔφιππόν σε δεξαίμην, ὁποῖος ἦσθα τότε, πεδιάδος Περσίδος καθιππαζόμενος· περιποππύσαιμί σου τὸν ἵππον, καταψήσαιμί σου τοὺς ἱδρῶτας, ἴδοιμί σε στεφανηφοροῦντα, ἴδοιμί σε θριαμβεύοντα. πολλοὺς τοὺς ἄθλους ἤνυσας· οὐκοῦν δέχου τὰ ἔπαθλα. πολλοὺς τοὺς ἀγῶνας ἐκράτησας· οὐκοῦν δέχου τὴν ἀνακήρυξιν. τί τὰ θλίβοντα μὲν ὑπομένεις, τὰ θέλγοντα δὲ ἀναβάλλῃ; τί τὰς μὲν ἀκάνθας ἐκτίλλεις, τοῦ ῥόδου δὲ οὐκ ἀπολαύεις; τί στρατηγεῖς μὲν καὶ καταστρατηγεῖς, οὐκ ἐκπομπεύεις δὲ τὰ ἐπινίκια;»

Συμφθέγγεται μὲν τῇ μεγαλοπόλει καὶ ἡ ἐκκλησία καὶ ὅσον τοῦ βήματος· «ἐγώ σε καὶ παῖδα ἐπὶ πορφύρας ἐμαίευσα, καὶ ἀετιδῆ ὄντα πρὸς
426] τὰς τῆς ἀληθείας ἀκτῖνας ὀξυδερκεῖν ἐξεπαίδευσα, καὶ | φύσαντα τελεώτερον τὰ ὠκύπτερα χεῖρας ἀνέσχον, ὁπόσα καὶ μήτηρ ἐπὶ παιδὶ γνησίῳ, καὶ τὸν ἐν οὐρανοῖς πατέρα τρόπαια ἐπὶ τροπαίοις ἐξῃτησάμην· ὁ δέ μοι ʽὑπέσχετο καὶ κατένευσεʼ, καὶ νῦν ʽμάλα γάρ σ᾿ ὁρόω καλόν τε μέγαν τεʼ καὶ ὡς ὄντως ἄλκιμον. τῷ μὲν ἀφοσιοῦμαι τὸν εὐχαριστήριον, σὺ δ᾿ ἀλλά μοι καὶ ἐπὶ δικαίοις δέξαι τῆς μητρὸς τὸν εὐφημητήριον· εἰ δὲ σὺ ταπεινοφρονεῖν ἔμαθες, ἀλλ᾿ οὐκ ἀγνωμονεῖν ἔγωγε· δός μοι ταύτην τὴν χάριν, μικρόν τι παραβιασάτω μήτηρ τὸν παῖδα. ἀκούσαιμι τοῦ Σολομῶντος καὶ ἐφ᾿ ἡμῖν ᾀσματίζοντος· ʽἐξέλθετε καὶ ἴδετε ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦʼ ἐν καιρῷ νίκης καὶ πανηγύρεως. ὁρᾷς τὸν ἱερὸν καὶ ἐμὸν τοῦτον σύλλογον, ὅπως μετὰ ᾀσμάτων ψαλτῳδοῦσί σοι τῷ τροπαιοφόρῳ τὰ ἐπινίκια; τούτους ἐγώ σοι τρέφω τοὺς κήρυκας, οἱ δέ σοι στρατηγοῦντι μὲν ʽτὰς χεῖρας εἰς οὐρανὸνʼ ἀνατείνουσιν, ἤδη δὲ κατεστρατηγηκότι πλατύνουσι στόμα καὶ ʽγλῶτταντʼ ἐπαίρουσιν ἐπ᾿ εὐφήμοις ʽεὔφημονʼ. μή τί σοι δοκῶ τοῦτο τὸ μέρος τῆς Ἀντιοχείας λείπεσθαι; οὗτοι πολλῷ τῶν ἐκείνης εὐγνωμονέστεροι· καὶ τέττιγες ὅσῳ θερμοτέρας τῆς ἀκτῖνος ἐπαπολαύουσι, τοσούτῳ μακρῷ τῶν ἄλλων λαλίστεροι.»

Ταῦτα ἡ μεγαλόπολις τῷ αὐτοκράτορι, ταῦτα ἡ Χριστοῦ ἐκκλησία τῷ 38
χριστῷ κυρίῳ καὶ φιλοχρίστῳ. αὕτη κἀμὲ νῦν, ὦ βασιλεῦ, μικρὸν μὲν ὄντα καὶ ὡς ἐν ἀδελφοῖς πολλοστόν, ὅμως δ᾿ οὖν σοι τὰ δυνατὰ δωροφορεῖν ἐπηρέθισεν, ἥ με καὶ τὰ ὅπλα πάλαι ἀφελομένη τὰ πάτρια τοὺς

λόγους ἀπέδωκε. τὸ γάρ μοι γένος ὅλον ὁπλῖται, καὶ παῖς παρὰ πατρὸς ὡς κλῆρον τὴν τέχνην κομίζεται καὶ πυρριχίζειν ἐκμελετᾷ τὰ ἐνόπλια.

Ἀλλ᾿ ἐγὼ τοιοῦτον τὸ σχῆμα μετημφίασμαι καὶ ἀντὶ θεράποντος Ἄρεος Ἑρμοῦ θεράπων γίνομαι καὶ μεταδιώκω τὸν λόγιον. ἀλλὰ τί μοι τὰ μύθων παίγνια; μᾶλλον μὲν οὖν τὸν λόγον αὐτὸν θεραπεύω, τὸν ἐκ πατρὸς τὸν ἀπόρρητον. ἀλλ᾿ οὐκ ἤδη παρὰ τοῦτο καὶ ἀνείσφορα πάντη τὰ ἡμέτερα τῷ αὐτοκράτορι, οὐδ᾿ ἐκείνην τὴν ἀρχεγενῆ καὶ πατρῴαν εὔνοιαν ἀποδιοπομπήσαιμι, ἀλλά σε καὶ στρατηγοῦντα περικροτήσω καὶ τροπαιοφοροῦντα θαυμάσομαι καὶ πρὸς τὸ λοιπόν μοι τοῦ γένους ἀντιφιλοτιμήσομαι τρόπον ἕτερον.

Κἂν ἥξῃ μάχης καιρός, οἱ μέν σοι τὸν ἀκινάκην χειρίσουσι καὶ ῾χιτῶνα χάλκεον᾿ ἐπενδύσουσιν, ἐγὼ δέ σοι πρὸς τὸν χρόνον ἀντιμαχέσομαι, πολέμιον ἕτερον τοῖς καλοῖς βάσκανον, ὃν σὺ μὲν κατετροπώσω μετὰ καὶ τῶν βαρβάρων, οὕτως ὑπερφυᾶ στρατηγὸν καὶ χρόνου ὑψηλότερον καὶ ὡς ἀληθῶς ἀνεπίληστα.

Ἐγὼ δὲ καὶ κειμένῳ προσεπεμβήσομαι καὶ ἀγαλματουργήσω σοι τὰ ἔμψυχα καὶ τοὺς ἀπὸ νοῦ καὶ φρενῶν ἀνδριάντας οὐκ ὀλίγους ἀποχαλκεύσω σοι. οὕτως οὐκ αἰσχυνῶ μου τὸ γένος, οὕτως οὐκ ἀποβαλοῦμαι τὰ πάτρια, οὕτω καὶ ἀτρεμῶν στρατεύσομαι καὶ εἰρηνεύων μαχέσομαι. σύ μοι μόνον στρατάρχει καὶ ὡς ἀπὸ χαλκέων ὅπλων νίκας νίκαις | 426v] προσεπιχάλκευε· οἱ δὲ τῆς φάλαγγος διαπορθμεύσουσι καὶ διαβοήσονται τὸν στρατάρχην οἱ στρατιῶται, οἱ καλῶς στρατευσάμενοι τὸν καλῶς στρατηγήσαντα· καὶ πρό γε τούτων τὸν φίλον βασιλέα ὁ φιλοβασιλεὺς τὸν στρατηγὸν ὁ ὑποστράτηγος, ὁ Χρυσάντας τὸν Κῦρον ὁ Κρατερὸς τὸν Ἀλέξανδρον, καὶ ἡμεῖς ὁπόσον ἄοπλον καὶ περὶ λόγους ἔχομεν διατρανώσομεν καὶ διακηρυκεύσομεν. κἂν τοὺς λόγους τοῖς ἔργοις ἡττήσῃς, ὡς τοῖς ὅπλοις τὸ βάρβαρον, ἀλλ᾿ οὔτι γε καὶ τὸ πρόθυμον.

## 4. IN NICOLAVM MVZALONA PATRIARCHAM

Orator ex lege encomii ab argumenti difficultate proficiscitur, quod ad patriarcham spectat, Christi ipsius imaginem. tum Nicolai Muzalonis (c. 1070 – 1152) cultum ac disciplinam a pueritia ad adolescentiam, quae fuerint, eiusque virtutes breviter tangit, mox primum negotium iuveni datum commemorat, scilicet ut litteras sanctas patriarcha Nicolao III Grammatico iubente doceret. Muzalon denique ab

Alexio I Comneno sollicitatus archiepiscopi munus accepit Cyprumque se contulit (1107), cuius incolae novum ecclesiae pastorem expetiverant. ibi autem contentionibus dissensionibusque exortis breviter mansit, immo se munere abdicavit atque C.polim revertit monachicum statum obiturus (fuit abbas monasterii *τοῦ Κοσμιδίου* per annos 1110–1147). postremo eum canitie iam reverentia dignum novoque officio valde repugnantem Manuel I Comnenus ad summam in Ecclesia C.politana potestatem ineundam adegit, quae undecimum iam mensem, Cosma II Attico amoto, vacabat. (ceterum hoc quoque munus, canonica disputatione de archiepiscopi creatione, an legitima necne, coorta, ad breve quoque tempus – annos 1147–1151 – Nicolaus erat obtenturus.) oratio habita est c. annum 1150.

## *Λόγος ἐκδοθεὶς τινὶ τῶν ῥητορευόντων εἰς τὸν πατριάρχην κῦρ Νικόλαον τὸν Μουζάλωνα τὸν πάλαι μὲν παραιτησάμενον τὴν Κύπρον, ὕστερον δὲ τῆς Κωνσταντινουπόλεως πατριαρχεύσαντα*

f. 426v] *Καὶ Δημοσθένην ἐκεῖνον τὸν Παιανιέα τὸν ῥήτορα λόγος ἄρτι πρῶτον ἀναβάντα 'ἐπὶ τὸ βῆμα' καὶ ἤδη τὰ πολιτικὰ πνέοντα ἐκπεσεῖν τε ἄφνω καὶ μηδ' ὃ προὔθετο λέγειν εἰδέναι, πρός τε τὸ τοῦ δήμου πολύθρουν ἀποναυτιάσαντα καὶ ἄλλως οὐ μετρίως ὑπωρρωδηκότα τὸ θέατρον, ὀψὲ δέ, γενόμενον ἑαυτοῦ, λεπτόν τι καὶ περίτρομον ἀνακρούσασθαι καὶ τῆς εἰσέπειτα μεγαλοφωνίας οὐκ ἄξιον. εἰ δ' ἐκεῖνος, ἀνὴρ τά τε ἄλλα σοφὸς καὶ τὴν Ἑρμοῦ κονίστραν εἴπερ τις ἄλλος ἀκριβῶς κονισάμενος, οὐκ ἤνεγκε δῆμον χειρωνακτικὸν καὶ ταῦτα τὸν πλείω καὶ ὡς ἐξ ἀγορᾶς ἐπιρρέοντα (καὶ τί γάρ, ἢ δῆμον, ξύγκλυδα ὄχλον καὶ σύρφακα;), τί καὶ πάθοι τις ἂν πρὸς ἐπίδειξιν ἄτολμος ἄνθρωπος, ἄρτι μὲν τοῖς τῆς ῥητορικῆς λειμῶσι προσεφιπτάμενος καὶ μικρὰ τῶν ταύτης ἀνθέων ἐπιλεγόμενος, εἰς μέσον δὲ θέατρον σοφίας ἁπάσης εἰσβεβληκώς, ὡς μὲν τὴν ψυχὴν ὑπέρσεμνον ὡς δὲ τὴν γλῶτταν ὑπεράττικον; ὡς πολυανθὴς λειμὼν τοῦτο τὸ θέατρον, καὶ πυκνὰ περιβομβοῦσιν αἱ μέλισσαι 'Μουσάων ἐρατὸν ὀπὸν ἀμελγόμεναι', Ἑλικὼν τις ἄλλος καὶ μυρίαι Μοῦσαι μετὰ τῆς μητρὸς Μνημοσύνης περιχορεύουσι.* 1

*Οὐ Φωκίων ὁ Ἀθηναῖος τοῦ ἱεροῦ τοῦδε συλλόγου προκάθηται, οὐ Κάτων ὁ Ῥωμαῖος τὸ θεῖον τοῦτο σεμνύνει γερούσιον, ἄνδρες στρυφνοὶ μὲν τὴν γνώμην καὶ συννενευκότες εἰς νοῦν τὰ πολλά, θνητοὶ δὲ ὅμως θνητὴν ἀρετὴν ἀπὸ γῆς ταύτην ἀσκήσαντες, ἅτε μὴ τὸ καλὸν οὐρανόθεν*

σπασάμενοι, ἀλλά τις Μωυσῆς ἕτερος ἐπὶ τὴν τῶν ἀρετῶν ἀναβεβηκὼς ἀκρώρειαν καὶ θεῷ ξυνομιλήσας καὶ ʽμυηθεὶς τὰ ἀπόρρηταʼ. τοιοῦτος ἡμῖν ὁ κορυφαῖος, θεόπτης ἄλλος τὴν ἀρετήν, ἐξ ὄρους ἄρτι καταβεβηκώς, ὅλος ἱερὸς ὅλος ἔνθεος.

Εἶτά με οἴεσθε, ὦ παρόντες, ἐπ᾽ αὐτὴν τοῦ προσώπου τὴν αἴγλην ἐπεντρανίσαι θελῆσαι παραβολώτερον καί, περιελόντα ʽτὸ κάλυμμαʼ, ἐπ᾽ αὐτό που χωρῆσαι παρακινδυνεῦσαι τὸ ἄδυτον; οὐχ οὕτως ἐγὼ τολμηρὸς οὐδὲ σοφιστικὴν οὕτω μεγάλην αὐχῶν, ὡς καὶ τῶν ἀνεφίκτων ἀποπειρᾶσθαι τῇ γλώττῃ καὶ κατατολμᾶν ἀρετῆς, ἣ μηδὲ τὸν σύμπαντα κόσμον δεῖν ἀντιταλαντεύειν ὁ μέγας Παῦλος ἐθέσπισε. γενναῖος μεντἂν εἴην καὶ ἐγγύς που μεγαλεπίβολος καὶ τὴν γνώμην ὑπερνεφὴς καὶ τὴν γλῶτταν οὐ περιπέζιος, εἰ τὴν τοῦ παραπετάσματος ἐξαλλομένην ἀστραπὴν | ὑπ- 427]
ενέγκοιμι καὶ τὸν ἥλιον ἀπὸ τῆς σκιᾶς πρὸς ἀξίαν θαυμάσαιμι· ἀγαπῴην δ᾽ ἄν, εἰ καὶ τῶν τῆς ἀρετῆς ἀδύτων ἀφέμενος ἀκριβῶς ἐποψοίμην τὸ προτεμένισμα.

2 Ὡς ἐγὼ καὶ πρὶν εἰς πεῖραν ἐλθεῖν ἀποδειλιῶ τὸν ἀγῶνα καὶ τρέμω καὶ πέφρικα, καί μοι πάλλεται μὲν τὸ ψυχίδιον, πολὺς δὲ ὅσος ἱδρὼς ἐπιρρεῖ καὶ ὅλον περιαντλεῖ μοι τὸ σωμάτιον, οὐδὲν ἧττον ἢ μῦθος τὸν Ὀρφέα τὸ ἄγαλμα, τῆς τοῦ Μακεδόνος τύχης καὶ τῶν ἐκείνου τροπαίων τὸ μέγα θαῦμα καὶ πάσαις γλώσσαις ἀνέφικτον ὡς ἐν συμβόλῳ ἀπομαντευόμενον. οὕτω μὲν ὡς ἀπὸ καλύμματος τῆς ἐπιπολαζούσης αἴγλης τὸν ἡμέτερον δὴ τοῦτον Μωσέα θαυμάσομαι καὶ τὸ παράβολος δοκεῖν οὐκ ἀποίσομαι.

Εἰ δὲ καὶ πρῶτος ἀρχιερεὺς καὶ Χριστοῦ τύπος καὶ πολλῷ Μωσέως ὑψηλότερος, ἅτε καὶ τὸν νέον δημαγωγῶν Ἰσραήλ, καὶ θεός, ὅτι πρὸς θεὸν τὸ ἀρχέτυπον ἀκριβῶς ἐναπέξεσται, ἀλλ᾽ ἐγὼ μὲν τὸν ἄνθρωπον ἐπαινέσομαι κατ᾽ ἄνθρωπον σοφιστεύειν ἐκμελετῶν, τῷ δ᾽ ἔνδον ὑποκρυπτομένῳ θεῷ σιγῇ τὸν ὕμνον ἀφοσιώσομαι. οὕτως οἰκονομήσω τὸν ἀγῶνα· καὶ ὁ τοῦ Χριστοῦ μιμητὴς εὖ οἶδ᾽ ὅτι συγγνώσεται καὶ μικρᾶς γλώττης μικρὸν ἐφύμνιον οὐκ ἀπώσεται, ἐπεὶ μηδ᾽ ὁ Χριστὸς ὁ τούτου διδάσκαλος ὑποψελλίζοντας ἔτι παῖδας καὶ τὸ θεῖον ἐκεῖνο μέλος ὑπᾴδοντας.

3 Ἀλλά μοι ἐντεῦθεν πέλαγος ἀτεχνῶς Ἀτλαντικὸν ἀνέρρωγεν· ἂν τὸ προσκλύζον κῦμα φύγω καὶ διαπλεύσαιμι, φοβεῖ με τὸ προσιὸν διαπει-

λοῦν μοι τὴν πόντωσιν· τὸ μὲν ἤδη μοι ἐπερρόθησε, τὸ δ᾽ ἐπικυρτούμενον ἐπανίσταται· τὸ μὲν ἐπιξυνάγει τὴν πλημμυρίδα καὶ μελετᾷ τὴν ἐπίκλυσιν, τὸ δ᾽ ἑτέρωθεν αὖθις πόρρωθεν ἐπωρύεται, καὶ ὅλως κῦμα ἐπὶ κύματι καὶ ἐπὶ τῷ δέει δέος ἀντεπεγείρεται.

Ἀλλ᾽ ἤδη καὶ αὐτὸς ἐνταῦθα Πέτρος γίνομαι καὶ ποθῶ μὲν βαδίσαι ταύτην τὴν θάλασσαν καὶ προσεγγίσαι τῷ διδασκάλῳ, καὶ τοῖς τούτου καλοῖς γλίχομαι, ξυνίημι δὲ ὡς ὑπὲρ ἄνθρωπον τὸ ποθούμενον, καὶ δυσωπῶ τὸν διδάσκαλον ἐλθεῖν με πρὸς αὐτὸν κελεῦσαι μικρά μοι τῶν αὐτοῦ χαρίτων τοῖς λόγοις ἐπισταλάξαντα. οὕτω γὰρ ἄν μοι τὸ πολὺ καταστορεσθείη τοῦ κύματος, ἀντὶ δὲ θυέλλης καὶ καταιγίδος καὶ λαίλαπος Ζέφυρος ἄλλος Ὁμηρικὸς ἐπιπνεύσειεν.

Ἀλλ᾽ ‛ἐνταῦθα τοῦ λόγου᾽ γενόμενον τάχα μέ τις τῶν φιλοκάλων καὶ 4
σοφιστικῆς παρανομίας γεγράψεται καὶ ὡς ἀνέραστον τοῦ καλοῦ προσεπισκώψει καὶ διατωθάσεται· τί γάρ, πρὶν ἢ τὰς κάλυκας φυλοκρινῆσαι περιεργότερον, αὐτὸς ἐπὶ τὸ ῥόδον ἐπείγομαι; ἐγὼ δ᾽ ἀλλὰ φιλῶ μὲν καὶ τὰς κάλυκας, ὅτι τοιοῦτον ἄνθος ἐκυοφόρησαν, ἀλλ᾽ ἐπὶ τὸ ῥόδον ὅλος ἐπτόημαι, ἀλλ᾽ ἐπὶ τὸ ἄνθος ὅλους ἀνατείνω ‛τοὺς ὀφθαλμούς᾽, καί, καλὸν οὕτω κλάδον ἰδών, ἐνταῦθα τὸ θαῦμα περιιστῶ· τί γὰρ δεῖ με καὶ τὴν ῥίζαν περιαθρεῖν καὶ ὥσπερ ὑπορύττειν τὸν εὐφημητήριον; ‛ἐσθλῶν ἀπ᾽ ἀνδρῶν ἐσθλὰ γίνεται τέκνα᾽ μετὰ τῆς τραγῳδίας ἀπισχυρίζομαι, καὶ ἀετιδῆ ὁρῶν εὐγενῆ πρὸς τὰς τῆς ἀρετῆς ἀκτῖνας ὀρθοῖς ὀφθαλμοῖς ὅλοις ἐπεντρανίζοντα, πάντως ἀετὸν εἶναι καὶ τὸν πατέρα μαντεύομαι.

427v] Ἀλλὰ τί μοι καὶ λιπαίνειν ‛τὴν | τοῦ λόγου κεφαλὴν᾽ ἁμαρτωλῶν ἐλαίῳ καὶ σιγᾶσθαι τὰ κρείττω τοῖς χείροσιν τοῖς θύραθεν τὰ ἡμέτερα; ὁρῶ τὸν καρπὸν ὡς ἡδὺν ὡς ἐπέραστον, καὶ τὸ φυτὸν ὡς χάριεν ξυνορῶ· ὁρῶ τὸν παῖδα πᾶσι καλοῖς βρύοντα, καὶ τοὺς τεκόντας μηδὲν ἀπεοικέναι τοῦ θειοτέρου τοῦδε κόμματος ἀποφαίνομαι.

Ἀλλ᾽ ἔχει τι καὶ τὸ τραφῆναι δίδαξιν ἐσθλοῦ, καὶ τοῦ παιδὸς 5
οὐδὲ τοῦτο τὸ μέρος οἱ τεκόντες ἠμέλησαν. οὐκοῦν καλῷ καλὸν ἐπεφύετο καὶ χάρις ἐπήνθει χάριτι καὶ τῷ θαυμασίῳ τῆς φύσεως ὁ τῆς παιδείας κόσμος ξυνεκεράννυτο· εἶπες ἂν ἰδὼν χρυσῷ πορφύραν ξυναναφύεσθαι. ὢ θαυμασίας ἐπιπλοκῆς, ἐν ᾗ καὶ τὸ ἔμφυτον οὐκ ἀχάριτον καὶ τὸ ἐπίκτητον οὐκ ἀκόσμητον. οἶμαι τὴν τύχην ἐνταῦθα χαίρειν διαμιλλωμένην τῇ

*φύσει καὶ τὴν μὲν ἀρχῆθεν τὸ καλὸν ἐπιβάλλειν καὶ πάτριον, τὴν δ' ἐπιφιλοτιμεῖσθαι τὰ τῆς τροφῆς ὡς ἀνάλογα.*

*Ὡς γὰρ εἰς μείρακας ἤδη παρήγγελλεν, ἐλπίδας παρεῖχεν οὐχὶ ψευδεῖς τῆς εἰς τὸ μέλλον κρείττονος ἐπιδόσεως· τό τε γὰρ περιτιθέμενον τῇ ψυχῇ καλῶς διεφύλαττε καὶ τὸ παρ' ἑαυτοῦ προσέφερεν ἄμεινον. καί τις ἰδὼν οὕτω γόνιμον καὶ πάμφορον περὶ τὰ καλὰ τὴν ψυχήν, τοὺς γειναμένους εὐθὺς ἐμακάρισε· 'τρισμάκαρες ἄρα σοι πατὴρ καὶ πότνια μήτηρ', οἳ τοιόνδε σε γείναντο εὐφυέα τε μνήμονά τε. ὡς δὲ καὶ εἰς ἄνδρας ἔφθασε, τί μὲν οὐ μετήει δεξιῶς, τί δὲ μετιὼν οὐκ ἐφύλαττεν ἀσφαλῶς;*

*Ἀλλ' ὦ καὶ τότε καὶ φιλοσόφων ἐμβριθέστατε καὶ φιλολόγων χαριέστατε καὶ νῦν ἁπανταχῇ τοῦ Χριστοῦ ποιμένων ἄριστε, ῥητορικὸς μὲν ἦν σοι ὁ λόγος πνέων μένος πυρός, τὸ δὲ ἦθος φιλοσοφώτατος, 'ἡ γλῶσσα κάλαμος' ἄντικρυς 'ὀξυγράφου γραμματέως'· καί σοι τὸ τῆς σοφιστικῆς ἐμμελίτωτον ἔστυφε καὶ τὸ τῆς φιλοσοφίας ἀψινθιάζον αὖθις ἐγλύκαζεν· 'αὐταί σοι στομάτεσσιν ἀνηρείψαντο μέλιτται ποικίλα Μουσάων ἄνθεα δρεψάμεναι' δικαιότερον ἄν τις ἐπὶ σοὶ τερατεύσαιτο ἢ τῷ λυρικῷ Πινδάρῳ τῷ Θήβηθεν.*

6 *Δημοσθένης μὲν οὖν καὶ οἴνου μικρὸν ἔσπα καὶ τὸ νηφάλιον οὐ πᾶν ἐδοκίμαζεν, ἀλλ' ὅσον ἡττᾶσθαι πόνῳ τρυφὴν καὶ ῥᾳστώνην μελέτῃ καὶ οἶνον ἐλαίῳ καὶ φιλομαθείᾳ τὸ φίλοινον· σὺ δ' ἀλλ' ἐκ βάθρων κατέσπας τῇ τρυφῇ τὸ βασίλειον καὶ σαυτῷ σοφίας ἀνάκτορον ἀντῳκοδόμησας ἕτερον. τῷ ὄντι γὰρ ἐχθρὸν ἀρετῇ καὶ λόγῳ τοῦτο τὸ φάρμακον, λήθης πόμα τοῖς ἔτι περιοῦσι, δορυφορία τῆς δούλης καὶ τυράννου σαρκὸς καὶ τῆς ἐλευθέρας καὶ βασιλίδος ψυχῆς ἐμπρησμὸς καὶ ἡδονῶν αἰσχίστων αἴσχιστον ζώπυρον· 'πρὸς δ' ὄμμ' ἀχλὺς ἀμβλυωπὸς ἐφίζει, λῆσις δ' ἐκπλήσσει μνημοσύνην πραπίδων' καὶ ὁ 'νοῦς' ἐντεῦθεν 'παρέσφαλται'.*

*Ἀλλὰ σύ γε ὁ ἐμός, εἰ μὴ καὶ πρόδρομος, ἀλλ' οὖν ἐξ ἐρημίας, οὐκ ἀνὰ μέρος τὴν τρυφὴν τοῦτο τὸ μέρος ἀπέπτυσας, ἀλλ' ἐκεῖνο τὸ τῆς ἀσχημοσύνης ποτὸν ἀπεδοκίμασας τέλεον, 'ᾧ κεν ἅπαντες | τέρπονται' 'ἐὸν κα-* 428] *κὸν ἀμφαγαπῶντες'. τοῦτό σοι καὶ τὸν ἐπὶ κεφαλῆς χρυσοῦν τῆς συνέσεως φυόμενον πλόκαμον ἀνεπιβούλευτον τοῖς ἀλλοφύλοις πάθεσι διεσώσατο.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/86 UNIVERSITÄT LEIPZIG

ἐντεῦθέν σε καὶ ὄνου σιαγών, ἀλόγου πλησμονῆς ἀποχή, κατὰ τῶν ἐπιβούλων ἡδονῶν ὥπλισε κραταιότερον. οὕτω σοι τὴν κτηνώδη ταύτην σιαγόνα ὑποπιέζοντι νηφάλιον ὕδωρ ἐπιβλύζει καὶ πότιμον.

Οἴνῳ μὲν οὐ παρεμέτρησας ἔλαιον, ἡμέραις δὲ νύκτας ἀντέθηκας καὶ τῇ μελέτῃ πῦρ ὑπεξέκαυσας. καὶ τὸν τῆς κεφαλῆς μὲν οὖν ἀπεκείρω κόσμον, τῇ δὲ κεφαλῇ τὸν τῆς σοφίας κόσμον οὐδὲν ἧττον ἐφήρμοσας· μᾶλλον μὲν οὖν καὶ τοῦτον ἀνεδήσω τὸν στέφανον κἀκείνῳ, τῷ τῆς κεφαλῆς δηλαδὴ κόσμῳ, τελευταῖον πᾶν ὅσον περιττὸν καὶ νεκρὸν ὑπῆν τοῦ φρονήματος συναπέρριψας.

7 Εἶδέ σε ὁ μέγας ἐκεῖνος ἐπὶ τούτῳ ποιμήν, ὑφ᾽ ᾧ τὰ τῆς νέας Σιὼν τηνικαῦτα σοφῶς διετάττετο, καί, γνοὺς ἄπλαστον μὲν κατὰ τὸν Ἰακώβ, σώφρονα δὲ κατὰ τὸν Ἰωσὴφ καὶ ὡς Δαυὶδ πραότατον καὶ ὡς Ἰὼβ καρτερικώτατον, χειρίζει σοι τὰς ἱερὰς βίβλους καὶ ἱεροφάντην αὐταῖς ἐφιστᾷ περιδέξιον, ὡς μὲν διαλευκαίνειν ὅσον τοῦ γράμματος μέλαν, ὡς δ᾽ ὑπαναπτύσσειν ὅσον μυστηριῶδες καὶ γρῖφον.

Τότε δὴ τότε παντοδαπὸς τὴν σοφίαν ὡρῶ καὶ πολύτροπος καὶ ἧς ὁ ἐν εὐαγγελίῳ ʽοἰκοδεσπότηςʼ, ἅ σοι πάλαι φιλοπόνως ἐτεθησαύριστο ʽκαινὰ καὶ παλαιὰʼ τοῦ τῆς ψυχῆς ἐξάγων ταμείου. καὶ τὸ γράμμα ὑποτάττων τῷ πνεύματι ἐδίδασκες ἀνοίγων τὸ στόμα τὰ σωτηριώδη· ἀλλ᾽ οὐχ ἥκιστα καὶ σιωπῶν οἷς ἔδρας ἐπαίδευες. ὅθεν σοι καὶ ὁ παρὰ τοῦ Χριστοῦ μακαρισμὸς ἀνεφύετο ξυνῳδὰ παρεχομένῳ τὰ ἔργα τοῖς ῥήμασιν, καὶ ὁ τῶν Φαρισαίων ταλανισμὸς οὐδέν σοι προσήκων ἀπέωστο, οἳ τῶν φορτίων οὐδ᾽ ʽἄκρῳ δακτύλῳʼ θίγουσι τὰ βαρύτερα, ἑτέροις ἐπιφορτίζοντες.

8 Εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ ἡ τῶν Κυπρίων νῆσος ἐδεῖτο τοῦ κηρύξοντος καὶ πολὺς ἦν ὁ ἀγὼν εὑρεῖν τὸν κατὰ Χριστὸν τῆς τοῦ Χριστοῦ προστατεύσοντα ποίμνης. ἀλλά σε τὰ τῆς φήμης ὠκύπτερα πανταχοῦ περιῆγε καὶ πολὺς ʽἐνʼ τοῖς ἁπάντων ἔκεισο ʽστόμασινʼ καὶ ὁ βασιλεὺς τὰς ἀκοὰς οὐ μετρίως ἐγαργαλίζετο καί σου τῷ κάλλει τῆς ψυχῆς κατάκρως ἑάλω.

*Καὶ περισκοπεῖται τὴν θήραν καὶ σὲ τὸ καλὸν καὶ τίμιον θήραμα ἤδη ἐν χερσὶν ἔχειν οἴεται. ἀλλὰ γίνῃ καὶ αὐτὸς Ἰωνᾶς καὶ ἀποδραπετεύεις, πλὴν ὅσον οὐκ ‘εἰς Θαρσεῖς’ οὐδ’ ‘ἀπὸ προσώπου θεοῦ’, ἀλλ’ ἀπὸ προσώπου φιλοθέου βασιλέως καὶ πρὸς ἐρημίαν καὶ τὸ ταύτης μονότροπον. ‘ἁλωτὸν δὲ’ ἄρα πᾶν ‘τὸ ζητούμενον’ καὶ λανθάνειν εἰς τέλος οὐκ ἦν κατὰ τὸν θεῖον χρησμὸν ἐπ’ ὄρους ὑψηλοῦ ταῖς ἀρεταῖς τειχιζόμενον, οὐδὲ κρύπτεσθαι φῶς ὑπεραστράπτον καὶ λαθεῖν οὐ δυνάμενον.*

*Ἁλοὺς δέ (οὐδὲ γὰρ ἔδει κατορύττειν τὸ τῆς γνώσεως τάλαντον) καὶ ‘πολλὰ’ μὲν ‘ἀντιβάς’ πολλὰ δὲ ἀντειπών, τέλος δέχῃ τὴν προστασίαν καὶ δημοσιεύεις τὸ καλὸν καὶ πολλοῖς τῆς ἀρετῆς χρηματίζεις διδάσκαλος, ὡς οἷά τις διαυγὴς ‘ποταμὸς’ καὶ ‘πλημμύρων’ τοῖς νάμασιν εἰς πόλιν ἐξ ἐρημίας | μετοχετευθείς. ἐπεὶ δ’ οἱ τότε σοι τραπεζῖται τὸ τῆς ἀρετῆς* 428v] *τάλαντον παραχαράττοντες οὐκ ᾐσχύνοντο καὶ γλυκὺν οὕτω σε πλουτοῦντες ποταμὸν οὐκ ἠρύοντο, ζηλοῖς κἀνταῦθα τὸν Μωσέα καὶ φεύγεις τὴν σὴν ταύτην Αἴγυπτον, ἐπεί σοι κτείνοντι τὸ ἀλλόφυλον ἠγρίαινε τὸ ὁμόφυλον.*

**9** *Ἀλλὰ σὺ μὲν αὖθις ἐπὶ τὴν συνήθη καὶ φίλην ἐρημίαν ἀνατρέχεις· θεὸς δὲ καὶ Μωυσῆν ἐκεῖθεν ἐπανήγαγε καὶ σὲ τῆς ἐρήμου ταύτης ἀπέσπασε καὶ εἰς δημαγωγὸν ἔχρισε τοῦ νέου τοῦδε Ἰσραήλ, οὐχ ἧττον εἰδότα κακίαν κολάζειν ἢ Μωυσῆς πάλαι τὴν Αἴγυπτον. θεοῦ δὲ ἦν ἄρα τὸν ἐν ὀλίγοις πιστὸν ἐπὶ πολλοῖς καθιστᾶν καὶ σὲ τὸν τὴν ἐλάττω καὶ προτέραν ἀρχὴν καλῶς καὶ ὡς θεῷ φίλον διακοσμήσαντα ἐπὶ τὴν μείζω καὶ τελεωτέραν ἀναβιβάσαι· καὶ φιλοθέου βασιλέως διερευνῆσαι καὶ μαθεῖν, ὃν ἀρετὴ καὶ θεὸς ἐψηφίζοντο, καί που καὶ βιάσασθαι, κἂν πολλὰ πειρῷτο τὴν ἱερὰν ταύτην ἀνάληψιν περικρούεσθαι.*

*Ἀποπηδῶντα γοῦν σε πρὸς τὸ τῆς ἱερωσύνης κεφάλαιον εἵλκυσε καί σοι τὴν ἱερὰν ταύτην ἐπίστευσε κιβωτόν, ὡς πάλαι τῷ Δαυὶδ τὴν σκιώδη καὶ νομικὴν ἐκείνην θεός. οὔτε γὰρ ἐκεῖνος δέξασθαι τηλικοῦτον ἀγαθὸν εἰς τέλος ἀπεδοκίμασεν, εἰ καὶ πρότερον πολλῷ τῷ δέει τὴν ψυχὴν ἐκυμαίνετο, καὶ σοὶ τὴν ἀνίκητον καὶ μακρὰν ἐκείνην ἰσχυρογνωμοσύνην τὸ πολὺ τῆς τοῦ βασιλέως βίας ὑπεχαύνωσε καὶ παρέλυσεν. ἐπὶ τούτῳ καὶ πᾶς ὁ οἶκος Ἰακὼβ ἐπεκρότησε καί σε τὸν νυμφίον ἡ τοῦ Χριστοῦ ἐκκλη-*

σία λαμπρὸν ὑπὸ λαμπρᾷ τῇ πομπείᾳ δέχεται· καὶ ἦχος ἑορταζόντων ἁπανταχῇ καὶ ἀγαλλίασις ἐπὶ τῷ ὀνόματί σου.

10 Ἥλιος δ' ἀνόρουσας ἐπὶ τὸν ἡμέτερον οὐρανὸν καὶ τὴν τῆς ἱερωσύνης ἄκραν ταύτην περιωπήν, λιπὼν τὴν γείτονα καὶ πρόσοικον θάλατταν, ἣν περικαλλέα καὶ ὡς ὄντως γλυκεῖαν ἀποκαλῶ διὰ σέ· καὶ ἡ μακρὰ νὺξ ἐκείνη καὶ ὁ πάλαι σκότος εἰς αἰθρίαν σταθηρὰν διαλύεται. ὑπεκελάδησεν ἐνθεώτερον ἡ τοῦ πνεύματος χελιδὼν καὶ πᾶν ὅσον χειμέριον καὶ σκυθρωπὸν ἀπελήλαται.

Ἐπὶ σοὶ τοίνυν καὶ φρόνησις ἀγάλλεται καὶ ἀνδρία μεγαλαυχεῖ καὶ παρθένος Δίκη παρρησιάζεται καὶ φθορέα χρυσὸν οὐ δεδίττεται, δι' ὃν αὐτῇ καὶ πατέρα τὸν Ἀκρίσιον ὁ μῦθος ἐπλάσατο. ἡ δέ σοι ῥάβδος ἐξοφιοῦται μέν, τοῦτο δὴ τὸ Μωσέως, καὶ εἰς τὸ δάκνον μεταμορφάζεται, ἀλλὰ καί, τὸ τοῦ Ἰωνάθαν, μέλιτι βάπτεται καὶ γίνεταί σοι 'ῥάβδος' ἅμα 'καὶ βακτηρία', πατάσσουσα καὶ ὑπερείδουσα, δάκνουσα καὶ καταμελιτοῦσα, τὸ μὲν διὰ τὸ πρὸς τρόπου σοι μισοπόνηρον καὶ τὸν ὡς ἐπὶ φαύλοις θυμὸν οὐ φαῦλον οὐδὲ ἀλόγιστον, τὸ δὲ διὰ τὸ ἐξ ἀρετῆς καὶ ἄλλως ἐπανθοῦν σοι φιλάνθρωπον καὶ μειλίχιον. τοιαῦτα τὰ ἕδνα κομίζεις τῇ νύμφῃ, τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, τῇ νέᾳ Σιών· τοιοῦτον τὸν ὄλβον ἥκεις ἐπιφερόμενος, οὕτως ἄσυλον οὕτω πολύτιμον.

11 Λυκοῦργον μὲν ἐκεῖνον μέγαν τε ἦγε καὶ εἴτε θεὸν εἴτε ἄνδρα χρὴ λέγειν διαπορεῖσθαι ⟨τὸ⟩ τοῦ τρίποδος ἀπεφοίβαζεν, ὅτι, νοσοῦσαν τὴν Σπάρτην [429] παραλαβών, | εἰς ὑγιαίνουσαν πολιτείαν ἄριστα καὶ ὡς ἐχρῆν μεθηρμόσατο. σὲ δὲ θεὸν ἐγὼ θαρρῶν ἀποφαίνομαι, ὅτι σοι καὶ τὰ τῆς προτέρας ἀρετῆς ὡς ἔνθεα καὶ τὰ τῆς ἱερᾶς ταύτης ἀρχῆς ὡς θεῖά τε καὶ μεγάλα καὶ ἀνθρωπίνην σοφίαν ἅπασαν ὑπερπαίοντα. σοὶ μὲν οὖν διὰ ταῦτα καὶ τὸ μέγα ὄνομα τοῦτο δικαίως ἐπιψηφιεῖταί τις ἀνενδοίαστον· Λυκοῦργος δέ, μήτε θεὸν ὡς χρὴ σέβειν εἰδὼς καὶ μικρὰν ἀρετὴν ἐπιδειξάμενος, ὡς ἕνα δῆμον Σπαρτιάτην ἐπανορθώσασθαι, οὐχ ὅπως ὡς θεὸς ἂν εἰκότως ἀποκαλοῖτο, ἀλλ' οὐδὲ θεῖος ἄνθρωπος οὐδὲ χρῆμά τι σοφίας θεσπέσιος καὶ κατ' ἄνδρα τὸν ἄριστον.

Οὔκουν ἐγώ σε λοιπὸν ἀντιπαραθήσω Λυκούργῳ καὶ καθυβρίσω σου τὸ ἐγκώμιον· ἀλλ' ἵν' ᾖ ὁ λόγος θειότερός τε καὶ ὑψηλότερος, ὅ φησιν περὶ τοῦ δημιουργοῦ Πλάτων, ὡς 'πλημμελῶς καὶ ἀτάκτως κινούμενον' καὶ

*πρὸς ἑαυτὸ στασιάζον παραλαβὼν τόδε τὸ πᾶν εἰς εὐκοσμίαν τε ἤγαγε καὶ σοφῇ προνοίᾳ ξυνέδησε, τοῦτό σου τῆς σοφίας ἀπόνασθαι φαίην ἂν ἐγὼ καὶ τὸν ἡμέτερον τοῦτον διάκοσμον.*

*Εὑρὼν γὰρ καὶ αὐτὸς ἕκαστον ἰδίᾳ δημοκοποῦντα καὶ κοινῇ πάντας ἀντιφερομένους ἀλλήλοις καὶ ἡσυχίαν οὐκ ἄγοντας, πᾶσαν μὲν ἀκοσμίαν ἀπήλασας, τὸ δὲ κόσμιον ἀντεισήγαγες αἰδοῦς καὶ σωφροσύνης ὅρους ἐπιθεὶς τοῖς τοῦ βήματος, ὡς εἶναι καὶ τὸ ἄρχον μὴ τυραννικὸν καὶ τὸ ὑπήκοον εὐήνιον. ὡς ἄρα σε θεὸς ἐτήρει καὶ δευτέρου γένους ζώπυρον, ἵνα τὸν ἐκ τῆς κακίας κατακλυσμὸν ἀποδρὰς κοινὸς ἔσῃ καὶ καθαρῶς τὸ καθαρὸν καὶ μέγα σφάγιον θύσῃς καὶ ἀποδοίης θεῷ τῆς ἁπάντων σωτηρίας σῶστρα καὶ χαριστήρια.*

12 *Ἰακὼβ μὲν οὖν ὁ μέγας ἐν πατριάρχαις ἀντὶ τῆς πολλῆς καὶ σοφῆς ἐκείνης ποιμαντικῆς τὴν Λείαν πρότερον κομισάμενος, οὐ πάνυ τι τὰ εἰς εἶδος εὖ ἔχουσαν καὶ ἄλλως ἀσθενοῦσαν τὰς κόρας καὶ ὑπομύουσαν, οὐκ ἀπεῖπεν οὐδὲ ἀπέκαμε πόνοις πόνους προστιθείς, ἵνα καὶ τὴν Ῥαχὴλ (ἦν γὰρ πάγκαλόν τι τὸ κόριον) εἰς γάμον ἁρμόσαιτο. σὺ δὲ ὁ ἐμὸς πατριάρχης καὶ Ἰακώβ, ἀνθ᾽ ὧν τὸ τοῦ Χριστοῦ ποίμνιον ʽεἰς τόπον χλόηςʼ ἐξῆγες καὶ ʽεἰς ὕδωρ ἀναπαύσεωςʼ, τὸν ἱερὸν τῆς γραφῆς λέγω λειμῶνα, τὸν πᾶσι καλοῖς χλοάζοντα καὶ σοφίᾳ ξυμπάσῃ περίρρυτον, τὴν τῶν Κυπρίων ἡρμόσω καὶ τὰς ὄψεις ἀσθενοῦσαν, τὰς γνωστικὰς λέγω δυνάμεις, καὶ τὰ ἐς ὥραν ψυχῆς καὶ ἀρετῆς κάλλος παρὰ πολύ τι τῆς ἡμετέρας ταύτης Ῥαχὴλ ἀποδέουσαν.*

*Ἐπεὶ δὲ τοῦ πόνου καθυφῆκας οὐδὲν καί, ὁσημέραι τὴν σπουδὴν ἐπιτείνων, ὁρῶ περὶ τὴν τοῦ καλοῦ κτῆσιν ἀκμαιότερος, ἀμείβεταί σε τοῖς μείζοσι καὶ ὁ θεός, ὁ δικαίως τὰ πάντα σταθμώμενος, καὶ ὥς τινα Ῥαχὴλ ἀντιχαρίζεται τὴν νέαν ταύτην Σιών, ʽτὴν καλὴν τῷ εἴδει καὶ ὡραίαν τῇ ὄψει σφόδραʼ, λέγω δὴ τοῖς ἐκτὸς πλεονεκτήμασιν, ὄγκῳ τε ἀρχῆς καὶ ἀξιωμάτων μεγέθει, ναὶ μὴν | καὶ τοῖς ἐντὸς ἀγαθοῖς, δι᾽ ὧν τις ὡραϊζόμενος ἄνθρωπος τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἀγλαΐζεται καὶ θεὸν κατοπτάνεται. οὕτω σε ʽθεὸς ὑπερύψωσεʼ μηδὲν περὶ τούτου πραγματευσάμενον, μηδὲ λιπαρήσαντα καὶ οἰκοτριβήσαντα, ὅτι μηδ᾽ ἐπὶ μισθῷ τὴν ἀρετὴν ἐπεδείκνυσο, ἵν᾽ ᾖ σοι τὸ καλὸν κάλλιον καὶ τὸ τίμιον καθ᾽ αὐτὸ τίμιον.* 429v

τοῦτο δέ σοι τοῦ καθ᾽ ἡμᾶς γένους ἰδιάζον καὶ τῶν τὰ καλὰ μετιόντων ἀρτίως ἑτερότροπον καὶ διάφορον, ἀλλὰ καὶ τῆς τοῦ Ἰακὼβ ἱστορίας θαυμασιώτερόν τε καὶ ὑψηλότερον.

Ἐγὼ καὶ τὰ τοῦ Δαυὶδ ἀκριβεῖς εἰκόνας τῶν σῶν τίθεμαι· ἐκεῖνος μετὰ **13**
τὴν ἀναίρεσιν τοῦ Γολιὰθ εἰς χιλιαρχίαν ἀνεβιβάζετο· καὶ σύ, καθελὼν τὸν μέγαν τῆς κακίας ὁπλίτην, ὥς ἐπί τινων χιλιαρχίαν τὴν τῶν Κυπρίων ἐπέβης ἀρχήν. ἐκεῖνος ἀκροβυστίαν εἰς ἕδνα ἐκόμισε καὶ τὴν τοῦ βασιλέως παῖδα ἠγάγετο· καὶ σὺ τὴν τοῦ παμβασιλέως Χριστοῦ ἐκκλησίαν μετά γε τὴν παντελῆ τῆς ‘σαρκὸς ἀπόθεσιν’ προσηρμόσω. ἐκεῖνος τῆς κιθάρας ἐμμελεστάτοις κρούμασιν καὶ δαίμονας ἀπεκρούετο· καὶ σὺ τὴν ἐκκλησίαν εἰς ἕνα φθόγγον ἐμμελῆ κερασάμενος, εἴ τί που τῆς ἐκκλησίας θορυβῶδες ἐπῆν καὶ ἄλλως ἀσύμφωνον, ἐξωστράκισας. καὶ Μωυσεῖ δέ τινες πάντως ἀντεστάτουν ἀλάστορες καὶ παῖς πατραλοίας τῷ Δαυὶδ ἐπετίθετο.

Ἀλλ᾽ ὦ ‘θεράπον θεοῦ’ γνησιώτατε, ὦ ‘τοῦ καλοῦ’ κανὼν ἀπαρέγκλιτε, ὦ θείου ‘πνεύματος καταγώγιον’, ὦ ‘σοφίας κρατὴρ’ πνευματεμφόρου πληρέστατος, ὦ ‘δρόσος Ἀερμὼν ἡ καταβᾶσα’ πρὸς τὴν ἡμετέραν Σιὼν ἐκ τῶν ὀρέων ἐκείνων, οἷς προσωμίλεις θεῷ· σὲ καὶ τὴν σὴν ἀρετὴν μὴ θαυμάσαι μὲν τῆς ἄκρας ἀγνωμοσύνης, θαυμάσαι δὲ πρὸς ἀξίαν ἀνθρωπίναις γλώσσαις οὐκ ἐφικτόν.

## 5. IN IOANNEM AXVCHVM

In dicendi exordio de imperatore ut dei imagine deque potestatibus ut imperatoris imaginibus disseritur. deinde eventa praecipua enumerantur, quae ad laudes et Ioannis II Comneni et Ioannis Axuchi concelebrandas optime valeant: ab Alexio imperatore post Nicaeam captam (anno 1097) C.polim ductus atque in Palatio collocatus Axuchus (genere origine Musulmano) reguli collusor evasit et militaribus rebus ac disciplina imbutus est; eum imperator eligit magnum domesticum eiusque opera domi belloque utitur (Axuchus ab anno 1118 usque ad 1149/50 munus obtinuit); Axuchus Ioanni sedulo adest, quo tempore Anna soror adversus eum coniurabat (anno 1118), eum contra Petzinacos rem gerentem comitatur (anno 1121) necnon bello Asiatico (1137–1138), de quo in ceteris orationibus quoque agitur. sub finem ad condiciones, quas Ioannes cum rege Ierusalem expertus est, adluditur.

## *Τοῦ αὐτοῦ* (sc. *τοῦ Βασιλάκη*) *λόγος εἰς τὸν σεβαστὸν καὶ μέγαν δομέστικον πάσης ἀνατολῆς καὶ δύσεως κύριον Ἰωάννην*

1 *῾Καρδία βασιλέως ἐν χειρὶ θεοῦ᾿ τὰ θεῖα καὶ ἱερά φασι λόγια, ὅτι καὶ* S 527 *θεῖόν τι τὸ τοῦ βασιλέως χρῆμα καὶ θεόθεν τουτὶ τὸ ἀγαθὸν καὶ ὡς ἀπ᾿ οὐρανοῦ ξύμπαντες ἔχομεν ἄνθρωποι· καὶ ὁ βασιλεὺς ἡμῖν οὐδὲν ἕτερον ἢ θεός, μετά γε θεὸν τὸν αὐτὸν βασιλεύσαντα καὶ παντὸς ἐν οὐρανοῖς βασιλεύοντα. ἐκεῖθεν γὰρ ἡμῖν τὸ καλὸν τοῦτο ἐπέρρευσεν, ὅθεν καὶ τῶν δωρημάτων τὰ τελεώτερα, καὶ θεῖον μὲν ἂν εἴη ὁ τῷ ὄντι βασιλεύς. κατὰ τὸ ἀνάλογον καὶ ἡμεῖς ὅσον ἐπὶ γῆς φῦλον ἀνθρώπειον, ὡς ἐπ᾿ ἐκείνῳ, Ἰωάννῃ τῷ ἐκ θεοῦ καὶ κατὰ θεὸν βασιλεύοντι ἱκανῶς ἂν καὶ ὡς δέον διαταττοίμεθα. κἂν μὲν τὴν πορφυρίδα προσβλέψῃς καὶ ὅσα τῶν ἐσθημάτων βασίλεια, εὐθὺς ἂν ἐπιγνοίης τὸν ἄνθρωπον καὶ οὐ πολύ τι θαυμαστὸν ἴσως νομιῇ τὸ ἀξίωμα. ἂν δὲ καὶ τὸν πηλὸν παραδράμῃς, ἂν δὲ καὶ τὴν ἔξω σκιάν, καὶ τοῦ τῆς μορφῆς προτεμενίσματος τῆς ψυχῆς ἀνταλλάξῃ τὰ ἄδυτα, καὶ μικρόν τι προκύψῃς εἰς βάθος καὶ ὡς οἷά τις ἱεροφάντης ἀπὸ τῆς ψυχῆς ἀναθεωρήσῃς θεὸν τὸν αὐτοκράτορα, γνοίης ἂν οἶμαι τότε τοῦ ἀξιώματος τὸ ὑπέρμεγα καὶ προσεπιγνοίης τῶν ἔργων τὸ θεοείκελον· τάχα που καί, νεφέλης ἐπιπροσθ⟨ε⟩ούσης, δεήσῃ τὴν διαφάνειαν, ἵν᾿ ὡς ὑπὸ γνόφῳ | προσλαλήσῃς τῷ αὐτοκράτορι καὶ μόγις ἂν τὰ μακρῷ τῶν* 536] *ἄλλων ὑστερίζοντα καὶ ὡς οὕτως εἰπεῖν τῆς ἐκείνου θεοειδείας ὀπίσθια.*

2 *Ἔγωγ᾿ οὖν καὶ αὐτός, οὐ πρὸ πολλοῦ τοῖς τοῦ βασιλέως ἐπιβαλὼν ἀριστεύμασι καὶ ὅπως ἔχει τῆς ἐκεῖθεν μαρμαρυγῆς ὡς οἷόν τε καταμαθεῖν καὶ ἀκριβέστερον κατανοῆσαι διαμιλλώμενος, τοσοῦτον ὁ πρὸ τῆς πείρας θρασὺς μετὰ τὴν πεῖραν πεφόβημαι, καὶ οὕτω τί μοι τοῦ λόγου κατελάμφθη τὸ πρόσωπον, ὡς οὔποτ᾿ αὖθις ἀντιβλεπτεῖν ἐθέλειν πρὸς οὕτω καὶ τοσαύτης ἀρετῆς ἄκρατον ἥλιον μηδ᾿ αὐτόθεν ἀπερισκέπτως ἐπιβάλλειν πρῶτον ἐπὶ τὸ μέγιστον τοῦ πράγματος καὶ διώκειν δοκεῖν φιλονεικεῖν τὰ ἀκίχητα. ἐντεῦθεν καὶ τοῦτο τὸ Σολομώντειον οὐκ οἶδ᾿ ὅπως μοι τὸν νοῦν ἠρέμα ὑπέτρεχε τὴν τοῦ βασιλέως καρδίαν ἐν χειρὶ θεοῦ τοῦ παμβασιλέως τιθέμενον κἀκεῖθεν αὐτῷ παρέχον προσεπινοεῖν μετωχετεῦσθαι τὰ πολλὰ τῆς ἐλλάμψεως. σκοπουμένῳ δέ μοι καὶ τὸ τῶν ἔργων*

ἐπὶ τούτοις ἀνίκητον ὁπόθεν ἂν καὶ εἴη, καὶ ὅπως αὐτοῖς ἁπανταχόθεν τὸ ἔνθεον, ὁ ἐκ Σταγείρας οὑτωσί πως εὐστοχώτατα διεσάφησε καὶ ὡς εἰπεῖν εὐπόρως τὸν ἄπορον διελύσατο. δεῖν γὰρ ἐκεῖνος φιλοσόφοις νόμοις ὁρίζεται παντὸς οὑτινοσοῦν προσκοπεῖν καὶ προβάλλεσθαι τὴν ὄντωσιν· ἔπειτα μέντοι καὶ ῥᾷον προσεξευρεῖν ὅ τι τὸ ἐνεργὸν ὑπὸ φύσεως ἐντεθειμένον ἐγκέκρυπται· αὐτίκα γάρ τοι καὶ τὰ ἔργα τῆς ὀντότητος ἀποκεκρυμμένα φαίνεσθαι.

Τί οὖν, ὦ παρόντες, ἐπειδὴ καὶ Σολομῶν ἐκεῖνος ἐν χειρὶ θεοῦ τὸν 3
βασιλέα ἡμῖν τίθεται καὶ ὁ τοῦ Περιπάτου καὶ τῆς ὑπ᾽ ἐκείνῳ φιλοσοφίας πατὴρ ἐκεῖσε μετά γε τῆς οὐσίας καὶ τὰ ἔργα ξυντίθεται; καὶ τὸ μὲν ὅλον θεὸς ὁ αὐτοκράτωρ ἐντεῦθεν ἀνέθορεν, ὅπλοις μὲν καταστράπτων ὁπόσα καὶ βάρβαρα, τοῖς δ᾽ ἔργοις τοὺς λόγους καταλάμπων. ἐπεντρανίζοντες ἆρα τοὺς λόγους, ὅ τι μὴ κατ᾽ ἀξίαν ἐπάγωμεν; οὐμενοῦν. οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν οὔτε τῆς ἡμῶν εὐγνωμοσύνης ἐπάξιον, καὶ ἀδικοίημεν ἂν τῆς τοῦ βασιλέως ψυχῆς τὸ ἄτρυτον καὶ φιλόπονον, καὶ τοὺς ὁσημέραι πόνους καὶ τοὺς ἱδρῶτας, οὓς ὑπὲρ ἡμῶν πολλοὺς πολλάκις ἔχει τε καὶ ἀνέχεται. τί οὖν, ὅ τι καὶ δράσομεν, καὶ ὅπως τὸ τοῦ χρήματος ἀμφίκρημνον ἀποδράσομεν καὶ οὔτ᾽ αὐτὸν ἐκεῖνον ζημιώσομεν τὸ ἐγκώμιον οὔθ᾽ ἡμεῖς ἐπὶ τηλικούτοις ἀχαριστίας γραφὴν ἀποισόμεθα; οὐδὲν ἕτερον, ἀλλ᾽ ὡς ἀπὸ τοῦ ἀρχετύπου καὶ τοῦτο γνωριοῦμεν τὸ φιλοτέχνημα, καὶ τὰ τῆς εἰκόνος ἐκεῖθεν ἡμῖν ἔσται οὐκ ἄτυπα, καὶ δὴ τὸ ἀρχέτυπον ὡς μέγα τε καὶ ὑπὲρ πᾶν τίμιον· κἂν εἴ τις τὸ θεῖον θαυμάσηται, τὰ τῆς σῆς εὐγνωμοσύνης διέφυγε καὶ θεὸν οὐκ ἐθαύμασεν, ἀλλ᾽ ἔλαθεν ἀντὶ θεοῦ τὰ τοῦ θεοῦ φανταζόμενος καὶ ἀντὶ θεοῦ τοῖς τῶν δημιουργημάτων κάλλεσι καταχωννὺς τὸ ἐγκώμιον καὶ ὡς ἐν κύκλῳ τὸ θαῦμα ποιούμενος.

Κατὰ δὴ τούτους τοὺς λόγους καὶ ἡμεῖς τὸν αὐτοκράτορα θαυμασόμεθα 4
536v] καὶ τῶν | κατ᾽ αὐτὸν μὲν τὴν εὐφημίαν οὐ προησόμεθα, ὅτι καὶ θεὸς τὸ ἀρχέτυπον ἐντεῦθεν ἀνέφικτος καὶ βασιλεὺς θεοῦ τε εἰκὼν καὶ παράδειγμα. εἰ δέ περ οἷόν τέ ἐστι τῶν περὶ τὸν βασιλέα, καὶ οὓς ἐκεῖνος εἰς ἀρετὴν διεμόρφωσεν, ἀποχωρίσαι τῷ λόγῳ τὸν κάλλιστον καὶ τελεώτατον, καὶ οἷον ἐνθένδε συνερανίσαι τὸν ἔπαινον, οὕτω δ᾽ ἂν καὶ τῷ αὐτοκράτορι τὰ εὐφημητήρια θύσωμεν (ʽἄκαπνα δ᾽ αἰὲν ἀοιδοὶ θύομενʼ) καὶ ὁ λόγος οὔποτ᾽ ἂν παραβολοτάτου ἀποίσεται δόκησιν. εἴη δ᾽ ἂν οἶμαι καὶ θεοῦ τύπος

φιλόθεος βασιλεὺς καὶ φιλοθέου βασιλέως φιλοβασιλεὺς ὑποστράτηγος. ἀλλὰ γὰρ οὔπω μοι τοῦ λόγου τὸ ἐπεισόδιον τὸν τοῦ βασιλέως τύπον ἀκριβῶς παρεγύμνωσε καὶ ὅλον τὸ θέατρον εὐθὺς ἐπηλάλαξεν, οὔπω μοι ὁ λόγος εἰπεῖν ἔφθασε τοὔνομα καὶ ὁ δῆμος ἅπας ἐπιβοᾶταί μοι τὴν ἀλήθειαν. καὶ τὸν τοῦ βασιλέως τύπον αὐτόν σε, ὦ πολυτίμητε, αὐτόν σε καὶ νῦν ὁ λόγος ἐτράνωσε καὶ οὗτοι πάλαι προσεπιμαρτυροῦσι καὶ διατείνονται· οὕτω σὺ τὴν τῆς εἰκόνος ἐντέλειαν οὐ διέψευσαι, οὕτω φέρεις ἁπανταχόθεν ἀκριβῆ τὴν ἐμφέρειαν.

5 Ἀλλά μοι καὶ ὁ λόγος ἅμα τε εἶδε τὴν ἀκτῖνα καὶ προσεπέγνω τὸν ἥλιον, ἅμα προσέβλεψε τὴν εἰκόνα καὶ τὸ ἀρχέτυπον οὐκ ἠγνόησε, μικρόν τι τὴν ὄψιν τῷ πίνακι προσέβαλε καὶ τὴν αὐτὸς αὑτοῦ καὶ πάλιν ἧτταν καταμαντεύεται, μικροῦ καὶ ἀπείπατο τὴν ἐγχείρησιν. οὕτως εἰς βάθος ὡς ἀπὸ βασιλέως ἐναπεμάξω τὸ θεοείκελον, ὡς μηδ᾽ εἶναί τι μέρος γραμμῆς, καθ᾽ ὅ τι μὴ πρὸς ἐκεῖνον ἀκριβῶς ἐναπέξεσαι. ὦ μακάριος μὲν τοῦ τῶν ἀρετῶν κάλλους ὁ βασιλεὺς τὸ ἀρχέτυπον, μακάριος δὲ καὶ σὺ τῆς μηδὲν ὅ τι λειπομένης τιμήσεως. ὦ μακάριοι καὶ ἡμεῖς τὸ ὑπήκοον οὕτω μὲν καλὸν εὐτυχηκότες τὸν βασιλέα καὶ στρατηγόν, οὕτω δὲ καὶ φιλοβασιλέα καὶ φιλοστράτηγον ὅσος μὲν ὁ λοιπὸς τῶν δορυφορούντων ἑσμός, ὅσοι δὲ τὸ πλῆθος τὸ ὑποστράτηγον. ἀστέρας ἂν εἴποι τις πάντας καλοὺς καλὸν ἀπολάμποντας, ἐν οἷς οἷον ἐν μέσοις αὐτὸς ἀναλάμπεις ἀστὴρ ἀριδηλότερος, τοῦτο δὴ τὸ τῆς Θηβαίας λύρας ἀπήχημα.

6 Ἀλλὰ πόθεν ἡμῖν οὕτω καλὸς ἀστὴρ ἐπέλαμψε; πόθεν εἴδομεν τὸ πρῶτον οὕτω χρυσέαν αὐγὴν ἀναλάμπουσαν; ᾐσθόμεθα τῆς ἐπιτολῆς, περιελάμφθημεν ὡς ἐξ ἕω φαιδρὸν ἐπιτείλαντος. ἡλίῳ συνανίσχει τὴν γένεσιν, ἐκεῖθεν τὴν Ῥωμαίων ἡγεμονίαν συμπεριηύγασεν· ἐκεῖθεν ὁ τῆς οἰκουμένης φωσφόρος ἐπιτείλαντα δέχεται καὶ πλέον ἐπιχορηγεῖ τὸ σελάγημα. εἰ δὲ καὶ ‛τὸν ὅμοιον ποτὶ τὸν ὅμοιον ἄγει θεός᾽ καὶ τὰ τῆς ποιήσεως οὐ διέψευσται, τότε δή σε καὶ μᾶλλον ἤγαγε, καὶ συνήγαγε τὸν μὲν ὑπὸ λιπαρᾷ τῇ Θέμιδι τὰ τῆς ἀρχῆς θεμιστεύοντα, σὲ δ᾽ ἀγαθὸν ὑποδρηστῆρα καὶ ὀτρηρὸν θεράποντα Θέμιδος. ἔδει γάρ ποτε τὰ | Ῥωμαίων 529]
ἐπανασώσασθαι πράγματα καὶ εἰς βασιλέα χρισθῆναι τὸν Δαβὶδ τὸν ἐκλεκτὸν κυρίου τὸν ὅσιον, ὑφ᾽ οὗ πεσεῖται μὲν τὸ ἀλλόφυλον, ὁ δὲ τοῦ κυρίου



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/94 UNIVERSITÄT LEIPZIG

κλῆρος ὁ λαὸς ὁ ἐκλελεγμένος ὁ περιούσιος τῆς βαρβαρικῆς δουλείας ἐξαιρεθήσεται, καὶ ὁ ἐπὶ γῆς ἐρριμμένος βεβαιότερον αὖθις ἐστήξεται. ἀλλ᾽ ἔδει καὶ δεύτερον ἀγαθὸν γενέσθαι τὸν ὡς ἄριστα ὑποστρατηγήσοντα· καὶ μέντοι καὶ γέγονεν, ἵνα μή, τὴν κεφαλὴν εὐδαιμονοῦντες, τά γε λοιπὰ τῶν μελῶν κακοδαιμονήσωμεν, κἀντεῦθεν ἡμῖν καταρρυπαίνηται τὸ μακάριον καὶ ὑποσκάζῃ τὸ εὔδαιμον. οὕτως ἐξ ἄκρων τῶν περάτων ὑμᾶς συνῆψε θεὸς καὶ ταῖς τῶν Ῥωμαίων τύχαις τὰ ἔσχατα πνεούσαις ἀντιπεριέστησε καὶ οἷον εἰπεῖν ἀνεζώωσε. τὰ δ᾽ οὖν ἀρχῆθεν καὶ τῆς ὡς ἑτέρας ὑμῖν ἡλικίας πρωτόλεια· τὸ τῆς φρονήσεως ὑμᾶς σταθηρὸν συνῳκείωσε, καὶ ὡς ἐξ ἀρετῆς συνετάκητε καὶ ὡς εἰς ἓν συνεκρούσθητε. ἔνθεν τοι καὶ ὁ σύνδεσμος ἀδιάσπαστος καὶ τὰ τῆς ἑταιρίας ὡς ἄλυτα. ἧλιξ ἥλικα ἔτερπε καλὸς ὑπὸ καλῷ συνηλικιώτῃ βασιλεῖ παιδευόμενος καὶ τρεφόμενος. λέοντας ὑμᾶς εἶπεν ἄν τις συννόμους ἰδών, ὡς ἐξ ὀνύχων τῆς ἡλικίας ἀκριβῶς τεκμηράμενος· σοὶ δὲ καὶ τὸ σύννομον ἐβεβαίου τὸ φίλιον καὶ τὸ πρὸς ἀρετὴν ὁμοιότροπον τελεώτερον προσεφήδραξεν.

Ὦ πόση τις ἀνδρεία περιέστρεφε τὸν βασιλέα μειρακευόμενον καὶ ὡς ἐν 7
παιδιαῖς γυμναζόμενον τὰ πολέμια. ἀλλὰ σύ γε ὁ Χρυσάντας ἐμιμοῦ τὸν Κῦρον καὶ ὡς ἐν γυμνασίοις εἶχες τὰ δεύτερα. ἦν τις ἀκοντιστὴς περιδέξιος, τῶν ἄλλων κατευμεγεθῶν τῷ δόρατι, ἀλλ᾽ ἐκεῖνος ἡττητό σου τοῦ Αἴαντος καὶ ἦν 'μετ᾽ ἀμύμονα Πηλεΐωνα᾽. ἦν τις ἱππεὺς ἀγαθός, ἀλλὰ μετὰ τοὺς Μολιονίδας, ἀλλὰ μετὰ τὸν Εὔμηλον τὸν ἱππέα τὸν κράτιστον. τὸ δὲ πρὸς ἀρετὴν πᾶσαν εὐτύπωτον, τὸ δὲ πρὸς ὁμιλίαν οὐκ ἄχαρι – βαβαί, πηλίκη τις ὑμᾶς χάρις ὑπέτρεχε, πηλίκος ἀγαθῶν κύκλος ὑμῖν περιήγετο. τὸ δ᾽ ἐπ᾽ εἰρήνης μειλίχιον, τὸ δ᾽ ἐπὶ μάχης φιλόμαχον καὶ τὰ τῆς ἡλικίας προσγέγονε. τότε δὴ τότε καὶ ἄμφω ταυτὶ τὰ καλὰ τελεώτερον συνεξέλαμπεν. ἀλλὰ γὰρ τί μὴ τὸν ἐμὸν Ἀβραὰμ ὡς ἀπὸ πίστεως ἀνεκήρυξα; τί μὴ τὸν τοῦ Χριστοῦ κυρίου ἀθλητὴν ἀπὸ τῶν στιγμάτων ἐθαύμασα; πίστις ἐκεῖνον πάλαι τὸν φιλόθεον ἐδικαίωσε, πίστις σε τὸν φιλοβασιλέα τῷ βασιλεῖ προσῳκείωσε. πατὴρ ἐκεῖνος καὶ πατὴρ βρέφους ἑνός, ἀλλ᾽ ἀπείπατο τὸ φιλότεκνον, ἵνα κερδανεῖ τὸ φιλόθεον· σὺ δ᾽ ἀλλὰ σεαυτὸν καὶ οὐχ

ἅπαξ, ἀλλὰ καὶ πολλάκις, τῷ τοῦ βασιλέως ἐπέδωκας, καί που καὶ ἐπαγάλλῃ τοῖς στίγμασι ὡς Ὀλυμπιονίκης τοῖς τραύμασιν. οὕτως οὔτε τὰ χαλεπὰ ἐδυσχέρανες καὶ πρὸς τὴν τύχην οὐκ ἤσκαλλες διαμέλλουσαν.

8 Τοῦ κόχλου περιρραγέντος αὐτίκα ἐκλάμψαι τὴν πορφύραν ἔσπευδες. ἡ μὲν κάλυξ | περιῄρητο καὶ ὁ βασιλεὺς τὸ ῥόδον ἀπέλαμπεν, ὁ δὲ φθόνος 529v] πολλὰς ἤδη χεῖρας εἰς ὕβριν τῷ καλῷ τῆς πορφύρας ἄνθει ἐφώπλιζεν, ἀλλ' ἧς αὐτὸς ἄκανθος τοῖς ἐχθροῖς τὰς χεῖρας ἁπανταχόθεν αἱμάττουσα καὶ τὸ ῥόδον τὸν αὐτοκράτορα δορυφοροῦσα πρὸς βεβαιοτέραν καὶ κρείττονα τὴν ἀνάλαμψιν. ταῦτά σοι πλέον τὸν αὐτοκράτορα ἐφιλίωσε, τοῦτό σοι τὸ διάπυρον τὴν τοῦ βασιλέως ψυχὴν κατηνθράκωσε καὶ ὅλον ἀγάπης πυρσὸν ἀνερρίπισε, διὰ ταῦτα κατὰ τὴν γραφὴν καὶ ἔλαβέ σε τὸν δοῦλον αὐτοῦ καὶ ὡς σφραγῖδα ἔθηκε, διότι σε ᾑρετίσατο. τοῖς μὲν γὰρ ἄλλοις τῶν δορυφόρων χρήματα καὶ ἀρχὰς προσαπένειμε καὶ τοιούτοις δή τισι προσεπεμέτρει τὸ μεγαλόδωρον, σοὶ δ' ἀλλ' ἑαυτὸν ὅλον ἀπέδωκε καί σε φύλακα τῆς ἀρχῆς μετὰ καὶ τοῦ σώματος συγκατέστησεν οὐδὲν ἧττον ἢ Πτολεμαῖον τὸν Λάγου ἐκεῖνον Ἀλέξανδρος. οἷς γὰρ οὐκ ἐπὶ χρήμασι φιλοῦντα ἐγνώρισεν, εἰκότως οἶμαι καὶ πλέον ἐπὶ τούτῳ ἐθαύμασε, καὶ θαυμάσας τῆς γνώμης οὐ φαυλότερον ἀντημείψατο. ᾔδει σε καὶ ἀνδρεῖον καὶ ὑπὲρ τοὺς ἄλλους τὰς χεῖρας γεγυμνασμένον εἰς πόλεμον· οὐκοῦν σοι καὶ τὸ εὔνουν οὐκ ἀθαύμαστον παραλέλοιπε καὶ τὸ ἀνδρεῖον οὐκ εἴασεν ἀδεξίωτον, ἀλλά σε καὶ στρατάρχην ἐτίμησε, καὶ νῦν πάσης μὲν ἑῴας ἐπιστατεῖς φάλαγγος, κοσμεῖς δὲ καὶ ὅσον ἐν ὅπλοις ἑσπέριον, καί σε μέγαν οἴδασι πάντες μεγάλου βασιλέως ὑποστράτηγον καὶ τεθήπασι.

9 Τίνα δὴ καὶ πλέον θαυμάσει τις, ἐγὼ διηπόρημαι· σὲ τῆς ὅτι πολλῆς περὶ τὸν στρατηγὸν εὐνοίας ἢ τὸν βασιλέα τῆς περὶ τὸν ἀντιστράτηγον δεξιώσεως; οὔτε τὸ εὔνουν τῆς ἀμοιβῆς ἥττηται καὶ τὸ τῆς ἀντιδόσεως τῆς εὐνοίας οὐ λείπεται· οὐκ ὀλίγον εἰσέφερες καὶ οὐ μικρὸν ἀπεκέρδανας. ὢ θαυμασίας τῆς ἔριδος, ἣν ὡς ἐπὶ τρυτάνης ὑμεῖς ἀντιταλαντεύετε, σὺ μὲν τὸ περὶ τὸν βασιλέα τιθεὶς φυλακτικὸν καὶ φιλόπονον, αὐτὸς δὲ τὸ περὶ σὲ μεγαλόδωρον ἀντιτιθεὶς καὶ φιλόδωρον. οὕτως ἐγὼ καὶ τὸ 'ἰσότης φιλότης' τίθεμαι, οὐ τὸ ἶσον τῇ τύχῃ ἐπιγραφόμενος καὶ μετὰ τοῦ ἴσου τὸ φίλιον, ὡς τοῦτό γε τῆς ἰσότητος ἂν μᾶλλον δοκοῖτο ἔγκοτον. 'καὶ κερα-

μεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων’ ὀφθαλμὸν ἐπέβαλε βάσκανον, ἀλλ’ ὅταν τὸ μὲν ὑπήκοον τοῖς τοῦ βασιλέως χαίρει καὶ γέγηθε καὶ τὴν δύναμιν προσεπαύξειν ἐθέλει τὴν εὔνοιαν, ὁ δ’ ἐπιμετρεῖ τὸ εὐεργετικόν, καὶ τὸ ἀνάλογον, κἂν φιλοίη μᾶλλον τὸν ἀμείνω τὴν φίλησιν, ‘ἀγαθὴ δ’ ἔρις ἥδε βροτοῖσιν’. |

528] Ὁρῶσι τὸν δρόμον οἱ βάρβαροι, ἀφρονέουσι, τὴν ὁρμὴν ὑποπτήσσουσι, 10
τὴν κορυφὴν οὐ στέγουσι τὰς κεφαλὰς συμπατούμενοι, καὶ τὸ ἐντεῦθεν σκορπίοι τὸν ἰὸν τὴν κακίαν γίνονται καὶ βάλλειν τοὺς σοὺς ὡραίους πόδας ἐπάγονται, δι’ ὧν ἡμεῖς ἔχομεν τὸ μὴ βάλλεσθαι. ‘ἐνέτειναν τόξον ἁμαρτωλοὶ καὶ βέλη εἰς φαρέτραν ἡτοίμασαν τοῦ κατατοξεῦσαι τοὺς εὐθεῖς τῇ καρδίᾳ’, ἀλλ’ οἱ ἐχθροί σου τῷ πλήθει τῆς δυνάμεώς σου ἐψεύσαντο καί σοι ‘ἀλλόφυλοι ὑπετάγησαν’. οὐδὲ γὰρ εἰς διαφθορὰν τὸν ὅσιον αὐτοῦ ὁ θεὸς ἐγκατέλιπεν οὐδὲ συστράτηγος καὶ ξύμμαχος ἄμαχος ἡ σὴ παρθένος. οὔκουν οὐδαμῶς ἐπιλέληστο, ἣ δή σου καὶ ὡσεὶ παιδὸς κήδεται, καὶ τὸ βέλος ἐκεῖνο τὸ Σκυθικὸν ‘τόσσον ἀπὸ χροὸς ἔεργεν’, ὡς μὴ βληθῆναι τὰ καίρια. ναὶ μὴν οὐδὲ βέβλησαι· οἱ μὲν γὰρ ὡς ὄφεις τὴν πτέρναν ἐκαιροφυλάκησαν, σὺ δ’ ‘ἐπάνω ὄφεων καὶ σκορπίων’ πατῶν τὰς κεφαλὰς αὐτῶν κατήραττες καὶ συνέθραυσας. ὡς δεινοί γε ἦσαν οἱ βάρβαροι καὶ τὴν πανουργίαν οὐκ ἄσοφοι. κατὰ τῶν βασιλικῶν ποδῶν ὁπλίζονται, ἵνα τὰς ἡμετέρας καθέλωσι κεφαλάς, ἵνα τὰς καταδρομὰς ἐπίσχωσιν, ἵνα τὸν δρόμον ἐφέξουσιν. ὁρῶσι καὶ πόδα τοῦ βασιλέως ἕτερον, τὸν ὑπασπιστὴν τὸν κραταιὸν εἰς μάχην καὶ τῷ βασιλεῖ ξυμπατοῦντα τὸ βάρβαρον· σοφίζονται καὶ τοῦτο τὸ μέρος τὸν αὐτοκράτορα λυπῆσαι τὸ δεύτερον καὶ χεῖρας συγκαταρώμενοι ἐπανατείνουσιν, ἀλλ’ ‘ὁ θεὸς ὁ περιζωννύων σε δύναμιν’ σοὶ μὲν χεῖρας ἐπέρρωσε τὰς δὲ τῶν ἐχθρῶν παντελῶς ἐξενεύρισε· καὶ ὁ μὲν ἐχθρὸς ὑπὸ τοὺς πόδας ἔκειτο τὰ ὕστατα ἐπορχούμενος, σὺ δ’ αὖθις ἐπὶ τὴν κεφαλὴν ἀνατρέχεις, τὸν αὐτοκράτορα, καί, τὸν ἀδελφὸν πόδα τετρωμένον ἰδών, ἐπήλγησας μὲν ὅτι καὶ τέτρωται καὶ ὅτι μὴ πρότερον αὐτὸς ἐδέξω τὸ τραῦμα μαχόμενος, ὁ δέ σοι αὐτοκράτωρ ἀντεπήλγησε μὲν ὅτι

*παρεκινδύνευσας, ἐπαιάνισε δ' ὅτι σε τὸν πόδα τοῦτον εὐτύχησεν ἄβλητον. οὕτως ὑμῖν ξυμπαθέα ταῦτα καὶ ξύμφωνα· καὶ σὺ μὲν ὡς κεφαλῆς τοῦ βασιλέως ὑπερμαχόμενος, ὁ δ' ὡς κεφαλὴ τοῦ ποδὸς ὑπεραλγῶν καὶ τοῦ παρασπιστοῦ προκηδόμενος, οὕτω τὴν πορφύραν οἱ βασιλεῖς βάπτετε, οὕτως οἱ παρασπισταὶ τοῦ βασιλέως προκινδυνεύετε καὶ τῆς κεφαλῆς οἱ πόδες προασπίζοντες βάλλεσθε.*

11 *Τὰ μὲν οὖν Σκυθῶν οὕτω καὶ δὴ παντελῶς ἐξηρήμωται καὶ ὅ φασιν 'ἐρημία Σκυθῶν' ὡς ἀληθῶς βαθεῖα γεγόνασι, τὰ δὲ τῆς Ἀσίας — ἀλλ' ἐπῆλθες καὶ ὅσον κακὸν Ἀσιανὸν ἐξαιρήσων ἀλλόφυλον καί σοι τῷ μετὰ τῆς εὐσεβείας Ἡρακλεῖ καὶ προασπιστὴς Ἰόλεως ξυνεφείπετο, ταῖς τομαῖς τὸν καυτῆρα προσεπιθήσων καὶ τὰς ὑδρογενεῖς κεφαλὰς τὰς π α λ ι μ φ υ ε ῖ ς καθαιρήσων καὶ συγκαθαιρήσων πολυκέφαλον τέρας ἕτερον βάρβαρον. ἐνταῦθα καὶ πάλιν σὺ μὲν τῷ βασιλεῖ ὡς ἐν ἐκστάσει τὰς τῶν ἀνόμων κεφαλὰς ἔκοπτες καὶ καθήρεις τὸν | βάρβαρον ⟨. . .⟩ τὸν μεγαλαύχενα·* 528v] *ὁ δέ σοι παρασπιστὴς διεπονεῖτο περὶ τὴν μάχην καὶ τῶν δυσμενῶν ἀνήρπασε τὰς φάλαγγας καὶ ὡσεὶ κεραυνὸς τοὺς πολεμίους ἀπέφραξεν. ἀλλὰ σὲ τὸν ἐμὸν ἀλεξίκακον ὑποδύεταί τις καὶ αὖθις ἀνὴρ αἱμάτων καὶ δολιότητος (καρκίνον ἂν εἴποι τις) λοξοδρομῶν τὴν ἀσέβειαν· καὶ τὸν πόδα βάλλειν σοφίζεται, αὐτὸν δηλαδή σοι τὸν ὑποστράτηγον, ὡς ἐκεῖνον πάλαι τὸν ἐν μύθοις κ α λ λ ί ν ι κ ο ν ὁ τοῦ μύθου καρκίνος καὶ τῆς ὕδρας ὑπερμαχῶν τοὺς πόδας ὑπέκνιζεν. ὢ οἷον σὺ καὶ τότε, ὦ αὐτοκράτορ, ἐβέβλησο. ὢ οἷόν σοι τὸ τῆς λύπης διακάρδιον τῷ βέλει συνεπαφῆκεν ὁ βάρβαρος. πλείω τοῦτον ἤλγησας τὸν πόδα βαλλόμενος ἢ ὃν ὁ Μασσαγέτης ἐκεῖνος εἰς βάθος ὑπέγραψε.*

12 *Σὺ δέ, τἆλλα καὶ πάντα συμπνέων τῷ αὐτοκράτορι, χαίροντι συνηδόμενος καὶ ἀλγοῦντι συμπαθαινόμενος, τοῦτο καὶ μόνον ἦσθα τὴν γνώμην αὐτοῦ διάφορος· ὁ μὲν γὰρ ὡς κεφαλὴ τοῦ ποδὸς ὑπερήλγει καὶ ἐσχετλίαζε, σὺ δὲ ὁ ποὺς τὴν κεφαλὴν ἐφεδρεύουσαν ὁρῶν ἄβλητον ἔχαιρες. τοῦτό σοι τὸ τοῦ πράγματος βαρυάλγητον ἀνεκούφιζεν, εἶχες καὶ τὴν τοῦ πάθους*

ὁμοιοπάθειαν οὐ μικρὸν οὐδὲ φαῦλον εἰς φιλοτιμίαν αὐχήματος. ἑώρας τὸν βασιλικὸν πόδα, ὡς ἐβέβλητο, καὶ ὅτι αὐτὸς τοῦτο τὸ μέρος ὡς ὑπὲρ τοῦ βασιλέως ἐβέβλησο, καὶ κούφως τὸ ἄλγημα ἔφερες. ἦ που καὶ τὸ τοῦ μεγάλου Παύλου κατὰ καιρὸν ἀνεκήρυττες, ‛νῦν χαίρω ἐν τοῖς παθήμασί μου’ ἐπιβοώμενος, ‛καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ κυρίου ἐν τῇ σαρκί μου’. ἀλλὰ γὰρ οὐκ ἐνύσταξεν ὁ φυλάσσων σε βασιλεύς, ὅτι μηδ᾽ αὐτὸς σωματοφυλακῶν ἐπενύσταξας· καὶ ὁ θεὸς οὐκ ἐπὶ πολὺ τὸν δίκαιον ἐγκατέλιπεν, ἀλλ᾽ ὅλην τὴν ἰσχὺν τὸν ἀθλητὴν ἐπιδείξασθαι, τὸ περὶ τὸν βασιλέα λέγω διάπυρον, καὶ μείζους δέξασθαι τοὺς στεφάνους ἢ τὴν πεῖραν ὑπήνεικεν. ἔνθεν τοι καὶ ἐπεσκέψατό σου τὸ ἄλγημα καὶ ἰάσατό σου τὸ σύντριμμα, καὶ ὁ ἀθλητὴς λαμπροτέραν ὑπὸ τοῦ ἀθλοθέτου βασιλέως ἐκομίσω τὴν ἀνακήρυξιν.

Καὶ νῦν Ἰησοῦς χρηματίζεις· τῷ νέῳ Μωυσῇ τῷ τὸν λαὸν κυρίου εἰς 13
γῆν τὴν ἐπηγγελμένην καὶ ξυμποδηγεῖς ποδηγοῦντι καὶ συστρατάρχεῖς στρατηγοῦντι καὶ ξυγκρατιστεύεις ἁπανταχοῦ κρατιστεύοντι. διὰ τοῦτον βαρβάροις οὐχ ὑποκύψομεν, διὰ σὲ τοὺς πολεμίους θαρρήσομεν. χάρις δὲ καὶ Μωυσῇ τοὺς ἀλλοφύλους ἐξολοθρεύοντι καὶ Ἰησοῦ τὸν Ἰσραὴλ παραθήγοντι. ἂν τοῦτο τὸ ζεῦγος, ἂν ταύτην τὴν ξυνωρίδα ἐπὶ μακρὸν τηροίη θεός, ταχὺ καὶ γῆν τὴν ἐπηγγελμένην ληψόμεθα.

## C. ADVERSVS BAGOAM DECLAMATIO FORENSIS

Die orthodoxiae sollemni Hierotheus sacerdos sanctorum imagines melle collevit, Cosmam quendam arguens eas stercore perunxisse; Bagoas eunuchus se in accusatione coniungit. insimulator autem, dolo detecto, sacrilegii accusatur, in vincula ducitur, Bagoae beneficio ex vinculis evadit, qui nunc correus fit. in contentione forensi declamator accusatorem agit. declamatio post annum 1157 scripta postremum Basilacae exstat opus; in ea hic atque illic auctor sortem, qua haeresis condemnatus est, iniquissimam tecte cauteque significat.

### *⟨Κατὰ Βαγώα μελέτη⟩*

### *⟨Ὑπόθεσις⟩*

*Ἐπέχρισε μέλιτι τὰς τῶν ἁγίων εἰκόνας Ἱερόθεός τις καὶ κατηγόρησε* W 296]
*τοῦ κῦρ Κοσμᾶ ὡς κοπρίᾳ ἐπιμιάναντος· ξυγκατηγόρησε καὶ ὁ Βαγώας· εἶτα ἑάλω αὐτὸς ὢν ὁ μιάνας ὁ καὶ κατηγορήσας, ἐνεβλήθη καὶ εἰς εἱρκτήν, ἀπελύθη παρὰ τοῦ Βαγώα· καὶ κρίνεται συνειδότος ὁ Βαγώας.*

*Τὸ ζήτημα στοχασμός. προεμπίπτει δὲ ὅρος. μελετῶμαι τὸν κατήγορον.*

### *Προθεωρία*

1 *Τὸ τὰς πολιτικὰς πλάττειν τῶν ὑποθέσεων οὐ τοῦ τυχόντος οὐδ᾽ οἷον ἐξ ἐπιδρομῆς εὑρεθῆναι. τὸ μὲν γὰρ προευρημέναις κεχρῆσθαι, εἰ καὶ μὴ ῥᾷον εἰς τέχνην ξυλλαβεῖν, ἱκανῶς τοῖς πρὸ ἡμῶν ἐπικεχείρηται· κἀκεῖθεν ἔξεστιν ἀπαρύεσθαι τῆς ἐπιστήμης, εἰ μή πού τις μαλθακίζοιτο πέρα τοῦ δέοντος, ὡς καὶ τὴν μεμασημένην τροφὴν μάζαν ἡγεῖσθαι· τὸ δ᾽ αὐτὸν εὑρεῖν καὶ διαρθρῶσαι μόνης τῆς τοῦ Διονυσίου τελεωτάτης ἕξεως. μόνῳ γὰρ ἐκείνῳ τῶν ἁπάντων καὶ τοῦτο θεὸς ἐχαρίσατο, ἐξ οὐκ ὄντων ὄντα πλάττεσθαι. τούτῳ γοῦν καὶ ἡμεῖς ὡς ἐφικτὸν παρακολουθήσαντες, τὸ παρὸν ζήτημα ἐπλεξάμεθα.*

2 Ἔστι δὲ συμπλοκὴ στάσεων, καὶ τὸ μὲν τῆς στάσεως καιριώτατόν τε καὶ σκοπιμώτατον κατὰ στοχασμὸν ἐξ εἰκότων ἐγείρεται, τὸ δ᾽ εἰς τοῦτο ξυντεῖνον εἰς τὴν ἰδιότητα ὡρικῶς ἀφορᾷ· ὃ καὶ προηγήσεται κατὰ λόγον. δεῖ γὰρ προκαταστῆσαι ὅ τι ἂν καλοῖτο τὸ ἔγκλημα καὶ οὕτω τὰ εἰκότα ἐποικοδομεῖν, ἀφ᾽ ὧν ὁ φεύγων εἰς τὸ προδιορισθὲν ἐμπεσεῖται, τὸ μὲν προὔργου τῷ λόγῳ ξυνειδότος γράψασθαι, τὸ δ᾽ ἐπὶ θύραις καὶ προαποδεικνύμενον, εἰ καὶ πάρεργον, ὡς δυσσέβεια, τὸ ἐφ᾽ ᾧ ξυνειδέναι τὸν φεύγοντα διαγωνιεῖται. τοῦτο τὸ εἶδος οἶδε καὶ ὁ θαυμάσιος Ἑρμογένης, ἐν οἷς καὶ περὶ συνεζευγμένων στοχασμῶν ἐδίδαξεν· ἀλλ᾽ ὁ δαιμόνιος τὴν τέχνην Διονύσιος ἐπιπλοκὴν μὲν στάσεων τὰ τοιαῦτα ὀνομάζει, προεξεῦρε δ᾽ ὅτι καὶ ἀνόμοιον ἀνομοίῳ συζεύγνυται.

3 Ἐπεὶ δ᾽ ὁ περιδέξιος ῥήτωρ οὐκ ἐν τῷ διώκειν ἁπλῶς γνωρίζεται, ἀλλὰ καὶ τῷ θεραπεύειν τὰ ἐμφαινόμενα καὶ φυλάττεσθαι τὰ ὑφορμοῦντα (ὥσπερ καὶ στρατηγὸς εὐμήχανος οὐκ ἐν τῷ δρᾶσαί τι τοὺς ἐχθρούς, ἀλλὰ καὶ τῷ τοὺς λόγους προιδεῖν καὶ φυλάξασθαι) φυλαξόμεθα καὶ ἡμεῖς τὸ τοῦ προκατεψηφισμένου χάριν δοκεῖν ἀμύνασθαι τὸν φεύγοντα. οὐ μέντοι προσεπεμβήσομαι τῷ ἀνδρί (μάταιον γάρ, καὶ ἄλλως αἰδοῦμαι τὸν Φίλιον) ἀλλ᾽ ἀποχαριοῦμαι τοσοῦτον ὡς καὶ τὸν φίλον ἀφοσιώσασθαι, μηδέν τι τῶν ἐπαχθεστέρων ὀνομάτων παραμιγνύς, καὶ τὸ ἐποιδοῦν καὶ φλεγμαῖνον ἔτι τῶν δικαστῶν ἐξημερῶσαι, κηδεμόνας αὐτοὺς τῆς εὐσεβείας ἀποκαλῶν, καὶ τὸν ἀγῶνα τοῦτον ὑπὲρ τῶν μαρτύρων ἐνστήσασθαι λόγων. εἰ δέ τις ἀκριβέστερον προσσχοίη, πολὺ τὸ πάθος ἐπὶ τῷ κατεψηφισμένῳ, γνωριεῖ καὶ ξυνηγορίαν ἄντικρυς καὶ τῆς ἐπ᾽ αὐτῷ ψήφου διαβολήν.

4 Ἀλλὰ ταῦτα πάντα οὐκ ἀμεθόδως, ἐν οἷς ὁ λόγος πρὸς τὸν ἀλιτήριον στρέφεται, τὰ κεφάλαια ἐπιτηροῦσιν. ἡ προσήκουσα τάξις τετήρηται ἄνευ τῶν ἐλέγχων. μαρτύρων γὰρ ἀποροῦντες, εἰκότως μετὰ ‘τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους’ τοῦτο ἐτάξαμεν, τοῖς σημείοις ἀντὶ μαρτύρων χρησάμενοι, ὡς καὶ καθ᾽ ὅλον ἡμῖν τὸν λόγον προβῆναι καὶ μὴ διεσπᾶσθαι μηδὲ δόξαι κατηγορεῖν ἀμάρτυρα.

## Ἡ μελέτη

### Βαγώας δημοκόπος ἢ ψευδόχριστος

1 Ἄνδρες ἱεροὶ καὶ τῆς εὐσεβείας κηδεμόνες, οὐ τοῖς προεγνωσμένοις ἐναντιωσόμενος ἥκω νῦν οὐδ᾽ ὑπερηγορήσων ἀνδρός, ὃν ὑμεῖς ἐκποδὼν

εἶναι δεῖν ἐψηφίσασθε, ἀλλ᾽ ἕτερον | καὶ τοῦτον ἱερὸν ἀγῶνα δραμούμενος, [296v] ἵνα μήτε τὸ θεῖον ἔτι περιυβρίζοιτο μηθ᾽ ἡμῶν καταγελᾶν ἐπιχειροῖεν οἱ πάντα τολμῶντες οὗτοι καὶ δεινοὶ τὴν ἀσέβειαν. οἷς γὰρ τὸ λαθεῖν αὐτοὶ παρανομοῦντες κερδαίνουσιν, ἐξ ὧν ἑτέρους γράφονται, τούτοις ἁπάντων ἀνδρῶν ἂν εἶεν οἱ πανουργότατοι. νῦν μὲν οὖν ἐξ ἡμισείας ἡμῖν ὁ ἆθλος τετέλεσται καὶ τὸ καλὸν οὐκ ἀκέραιον· εἰ δὲ καὶ ⟨τοὺς⟩ τὰ μείζω καὶ λάθρα σκευωρουμένους διαγράψοιτε μετὰ τοῦ τῆς ἐκκλησίας κύκλου, εἰς τὸ προῦπτον δὲ τὰς εὐθύνας αὐτοῖς ἐπιθείητε, τελεώτατος μὲν ὁ ἀγὼν ἔσται, παντέλειον δὲ καὶ ἡμῖν τὸ ἆθλον προσέσται.

2 Δεῖ γὰρ ὑμᾶς, οἷς εὐσεβείας μέλει καὶ θεὸς χαίρει τιμωρουμένοις ἀσέβειαν, μὴ παρὰ μέρος τὰς τοῦ πνεύματος αὔλακας ἐκκαθαίρειν μηδὲ βάτους μὲν ὡς ὑψικόμους καὶ προδήλως περικνιζούσας ὑπὸ νόμοις καὶ κανόσι κατεμπιμπράναι, τριβόλων δ᾽, ὅτι μὴ πολύ τι τῆς γῆς ἐξανίσχουσι, φείδεσθαι. τὸ γὰρ ὡς κακοῖς λανθάνον καὶ μάλιστα φυλακτέον, ὅσῳ καὶ τοῦ προορωμένου μᾶλλον εἰς λύμην ἄφυκτον. ⟨. . .⟩ ἄν τις βάτους ἢ τριβόλους φυλάξαιτο, θᾶττον ἄν τις ὄφιν συρίττοντα καὶ ταῖς σπείραις ὑποκυμαίνοντα προιδὼν ἐκ μακροῦ διαδράσειεν ἢ σκορπίον βραχύ τι κέντρον ἀνατεινάμενον καὶ μικρὸν ὑφέρποντα. καὶ τὸ τῶν καταράτων τούτων, ὁ μὲν ἐξελήλεγκται καὶ διέγνωσται καί, πρὸς βραχὺ τὴν δορὰν προτεινάμενος, ἑάλω λύκος ἐπ᾽ αὐτοφώρῳ, ἐν πιστοῖς ἄπιστος ἐν ὁσίοις ἐξάγιστος· ὁ δέ τι τὸν δόλον ἀμπίσχεται καὶ τὸ κακὸν ἐπηλυγάζεται καὶ θαρρεῖ τοὺς ἐλέγχους, καὶ οὔτ᾽ αὐτὸς τὸ παράπαν ὑπὸ δίκην εἶναι νομίζει καὶ τὸν ἤδη μόνης χειρὸς δημίου δυσόμενον ὑφαρπάζειν πειρᾶται, καὶ ἡμῖν τὴν τοῦ πεπονθότος ἑταιρίαν ἐπεγκαλεῖ καὶ δι᾽ ἐκεῖνον ἐπ᾽ αὐτοὺς ταῦτα ξυνθεῖναι μαρτύρεται.

3 Ἐγὼ δὲ πάλαι μὲν ὅσα καὶ φίλῳ προσεκείμην τἀνδρὶ καὶ ὡς πατέρα ἐφίλουν καὶ ὡς ποιμένα ἐσεβαζόμην, ὁπηνίκα καὶ ὑμῶν ἕκαστος. ἐπεὶ δὲ ὑμεῖς τὸν ἄνδρα τῆς ἐκκλησίας ἀπεκηρύξατε, στέργω τοῖς ἐψηφισμένοις κἀγώ. εἰ γοῦν ἐμὲ τὸ γράφεσθαι καὶ ὑμᾶς τὸ δικάζειν ὁ βέλτιστος οὗτος πολὺ δικαιότερον ἀφαιρήσεται, εἰ δ᾽ ἐγὼ παλαιᾶς ἑταιρείας εὐθύνομαι, πῶς οὐκ ἂν αὐτός, οἷς ἔτι καὶ νῦν τὸν ἐπὶ τηλικούτοις ἁλόντα στέργει καί, ὃν ὠθεῖν εἰς βάραθρον ἔδει, τοῦτον οὐδ᾽ ὑπὸ νόμοις τὸ παράπαν γενέσθαι θρασύνεται; οὐ μᾶλλον οὖν ἐκεῖνο τὰ τῆς ἐμῆς παρασαλεύει γραφῆς ἢ

τοῦτο βεβαιοτέραν ταύτην ἐνστήσεται. ἓν μὲν οὖν τοῦτο τοιοῦτον καὶ οὕτως
ἀπολελόγημαι. ὅτι δ᾽ ὁ μὲν ἠσέβησεν ἐκδηλότατος, ὁ δὲ λάθρα ξυνεψηφί-
σατο καὶ προὐτρέψατο, ἐντεῦθεν ὡς ἂν οἷός τε ὦ διελέγχειν πειράσομαι.

Ἀλλὰ δεῖ πρότερον εἰς ἀρχὴν τὸν λόγον ἀναγαγόντας διατυπῶσαι τὰ 4
τῆς ὑποθέσεως καὶ τῷ πράγματι συναναπτύξαι τὸν ἔλεγχον. ἤδη μὲν ἐκεῖ-
νος (τὸ δ᾽ ἐφ᾽ ὅτῳ καὶ λέγειν πρὸς εἰδότας περιττόν) παρελύθη τῆς ἀρχῆς,
ὑμεῖς δὲ ὁ τῆς ἐκκλησίας κατάλογος πῇ μὲν ἐκροτεῖτε τὸ τρόπαιον πῇ δὲ
καὶ τὸν πεσόντα ᾠκτείρετε. φίλοικτρον γὰρ τὸ πνεῦμα καὶ δακρύειν ὡς
ἐπὶ τοιούτοις ἐντέλλεται. καινὸς οὖν ὑμῖν τότε δακρύων ἐπληροῦτο κρατήρ,
ἡδονῆς ἅμα καὶ λύπης ἀπόρροια. ὁ δ᾽, ὁ λαμπρὸς ὑπασπιστὴς τοῦ φιλαν-
θρωποτάτου θεοῦ, ἐπαιάνιζεν ἐπὶ τῷ πεσόντι, ἐπανηγύριζεν ἔχαιρεν, καὶ
ὅπως κατεστρατήγησε περιττὸς ἦν διηγούμενος· ἑαυτῷ προσαφωσίου τὴν
νίκην, ἑαυτῷ προσαπεκλήρου τὸ τρόπαιον, καὶ ὡς ἀριστεὺς ἐπ᾽ ἄκρων
ἔβαινεν. ἐκ τούτων ἄν τις τεκμήραιτο τὸ λοιπὸν μὲν τοῦ βήματος θεόθεν
ἐμπνευσθῆναι καὶ ὑπὲρ θεοῦ συντάξασθαι, τὸν δ᾽ ἀνθρωπίνοις νόμοις καὶ
οὐδὲ τούτοις ἐπιεικεστέροις ʻἀναρριπίσαιʼ τὸν πόλεμον. ἐπὶ τούτοις τὸν
297] δεῖνα ξυνειδότος ἐγράφετο, ἄλλον ὕβρεως ἔκρινεν, ἕτερον | ἀπεκάλει κατά-
πτυστον, τοῦτον ᾐκίζετο ἐκεῖνον ἔμελλεν. ψευδῆ πάντα καὶ φθόνου προ-
σχήματι. Ἐριννὺς ἦν οὗτος τότε τὴν ἐκκλησίαν περιχορεύουσα. οὐχ οὕτως
Ὀρέστην Εὐμενίδες ἐπὶ σκηνῆς ἀνετάραξαν ὡς αὐτὸς τὸ βῆμα πᾶν ξυν-
εκύκα καὶ ξυνεστρόβει· οὐχ οὕτως Θεμιστοκλῆς ἀνίχνευε τοὺς ὅσοι τῆς
Ἑλλάδος ἐμήδισαν, οὐχ οὕτως Θρασύβουλος τοῖς περὶ τοὺς τριάκοντα ἐπ-
εφύη μετὰ τὴν τῆς Φυλῆς κατάσχεσιν καὶ τὴν τῆς τυραννίδος καθαίρεσιν.
ἐλύπει μὲν οὖν καὶ ταῦτα τούς γε μετριωτέρους ἡμῶν. δεῖ γὰρ ἁπανταχῇ
τοὺς ὁπωσοῦν παραχθέντας οἰκτείρειν, δακρύειν, πειρᾶσθαι περισῴζειν
εἴπερ οἷόν τε. οὕτως Χριστὸς ἡμᾶς φιλανθρωπίαν ἐδίδαξεν, ὡς ἐκεῖνος ὁ
τρόπος ἀλάστορος δαίμονος. εἰ δέ πού σοι καὶ τὸ ʼμισοπόνηρον ἐπὶ πλέον
ἐπέζεσεν, ἀποσβεννύτω σοι τὸ τοῦ θυμοῦ πῦρ ἡ καθαίρεσις. τέθνηκε τὴν
ἀξίαν, τί μαίνῃ λοιπὸν ἀθάνατα; ἤδη καὶ βαρβάροις ἐσπείσαντο μετὰ
τελευτὴν Ἕλληνες. σὺ δ᾽ ὁ τοῦ Χριστοῦ μαθητὴς καὶ πρεσβεύων θεὸν
ἀνεξίκακον ἐλέγχῃ καὶ αὐτῶν Ἑλλήνων ὀργιλώτερος. ἀντεπολιτεύσατό σοι
μικρόν, οὐκοῦν ἀπεστύγεις, ὅτι καὶ λυπεῖν εἶχε· νῦν δ᾽ ἀλλ᾽ ἀνήρπασται
τοῦ μέσου καὶ τὸ λυποῦν ἐκποδών, οὐκοῦν ἀπίτω καὶ θυμὸς ἀλόγιστος.
οὕτω καὶ Δημοσθένης, ὃν παρόντα πολλάκις Αἰσχίνην ἐγράψατο, τοῦτον
ἐξιόντα τῆς πόλεως καὶ δώροις ἐτίμησε καὶ γράμμασιν ἀνεκτήσατο. οὐ

λέγω τὸν Σαοὺλ ὑπνοῦντα, οὐ παράγω τὸ σπήλαιον, ἐπέχω τοῦ Δαυὶδ τὸ μεγαλόψυχον. ὁ γὰρ μηδὲ μετὰ τὸ μικρὸν ἐκεῖνο ἀπόπτωμα τῆς ὀργῆς ἀνιεὶς πῶς ἂν ἔτι καὶ λυπεῖν ἔχοντα μὴ κατὰ τὰς Βάκχας διεσπάσατο;

**5** Ἠνία μὲν οὖν καὶ ταῦτα ἡμᾶς· ὁ δ᾽, οὐδὲν τούτων ὑπολογισάμενος, ὕβριν ὕβρει προσεπαντλῶν οὐκ ἔληγεν. ἐδεδίει γὰρ τὴν τῆς τύχης παλίρροιαν, καὶ ὡς ὁ πεσὼν αὖθις ἑστήξεται· ὅθεν ἐπετραγῴδει τὰ πάνδεινα, καὶ μείζω τῶν προτέρων παρανομεῖν ἐκεῖνον διισχυρίζετο, ἵνα τὰς ἀμείνους τῶν ἐλπίδων ἁπανταχόθεν ὑφέληται. ὡς δ᾽ οὐδὲν οὐδ᾽ οὕτως ἐπέραινεν, οὐδ᾽ εἶχεν ὅπῃ στήσεται τὸ βαρύμηνον, οἵαν ἐπιβουλήν, ἥλιε, ξυνερράψατο, οἷον ἤρτυσε δόλον, ἡλίκον δρᾶμα ἐμελέτησεν. ἐπὶ τὰς πολυτιμήτους εἰκόνας τρέπεται, ἐπὶ τοὺς ἀθλητὰς τὴν ὕβριν μετοχετεύει. καὶ ὅπως τὸ κακὸν ἐτεκταίνετο ἐθεάσασθε. ὡς σοφῶς ⟨. . .⟩ εἶδεν ὡς ἧκεν ὁ χρόνος, καθ᾽ ὃν οἱ ταῖς ἱεραῖς εἰκόσι χεῖρας ἐπιβαλόντες ἀνάγνους εἰς ἀνάθεμα βάλλονται καὶ ὡς ἄγος τῆς ἐκκλησίας ἀπορριπτοῦνται, καὶ γίνεται τοῦτο τοῖς εὐσεβέσι πανήγυρις· εἶδε καὶ ὡς, εἰ ταῦτα δυσσεβῶν ἐκεῖνος ἀπελεγχθήσεται, τὴν αὐτήν γε πάντως ἀποκήρυξιν πείσεται. ἐπενόησεν ὁ ποιητὴς τὸ δρᾶμα, τὴν ὕλην ἐχορήγησε, μόνος ὑποκριτὴς ἐλείπετο, ἀλλ᾽ εὗρε καὶ τοῦτον οὐκ ἀμελέτητον εἰς κακίαν οὐκ ἄτολμον εἰς ἀσέβειαν· ὁ μὲν ὑφηγεῖται τὴν μεταχείρισιν, ὁ δ᾽ ἀποδέχεται τὴν ἐπίνοιαν, ἐπιβάλλει τὰς μιαρὰς χεῖρας, ἅπτεται τῶν ἁγίων ὁ βεβηλότατος, ἐπιχρώζει τὰς ἱερὰς στήλας. οἷς οὗτος ὑπέθετο θόρυβος, ἐν τούτοις καὶ κραυγὴ καὶ δάκρυα· τέχνη τὰ πάντα | 297v] καὶ σκηνῆς γέμοντα. ὡς περιύβρισται τὸ θεῖον, ὡς βεβήλωται τὰ ὅσια. φεῦ τῆς ἀπάτης, ἡλίκον ἡμᾶς ἐδελέασε.

**6** Φεῦ τοῦ δρόμου καὶ τῆς σπουδῆς, ᾗ περὶ τὴν ἀγγελίαν ἐχρήσατο. ʽἀπτέρῳ τάχει᾽ ἐπὶ τὸν νεὼν ἵεται, ἱερέων ὅλα γένη συγκαλεῖται περὶ τὴν θέαν, ἀρχιερέας ἀθροίζει, τοὺς τοῦ βήματος προκαθημένους, τὰ τῆς βουλῆς ⟨. . .⟩, τοὺς ἄστεως, τοὺς ἐπήλυδας· τοιοῦτον θέατρον συγκροτήσας ἐκπομπεύει τὸ τῶν ἱερέων αἶσχος, θεατρίζει τὸ τῆς ἐκκλησίας ἄγος, καὶ δοκεῖ ⟨. . .⟩ πρὸς τὴν εὐσέβειαν. ὁ δὲ μηδὲν ξυνειδὼς ἐκεῖνος, πάλιν ὕποπτος, εἰς τὸ πρᾶγμα ἀντέστραπτο. ὁ μὲν καθαρὸς ὑπ᾽ αἰτίασιν ἤγετο, οἱ δὲ τὸ πᾶν δραματουργήσαντες κατηγόρουν ἐδίωκον ἐξήλεγχον· ὁ μὲν ὑπεδείκνυ τὴν ὕβριν, ὁ δ᾽, ὥσπερ κατὰ καρδίας πληγείς, μέγα τι ἀνῴμωξεν· ὁ μὲν

αὐτόχειρ ὢν ἐπετραγῴδει καὶ προσήγγελλεν, ὁ δ᾽ αὐτὸς ὢν ὁ χορηγὸς καὶ διδάσκαλος ὡς ἐπ᾽ ἀλλοτρίῳ τῷ δράματι ἀνεκώκυεν ἔστενεν ἐσχετλίαζεν. τέλος τῆς ἐξαπάτης ἐκείνης καὶ τοῦ προσχήματος ἀποσκορακίζειν τέλεον τῆς ἐκκλησίας ἠξίου, ἀναθέματι βάλλειν, ὑπερόριον ἄγειν τὸν ἀσεβῆ τὸν ἐπάρατον.

Ἤδη καί τινας τῶν θερμοτέρων ἐπεσπάσαντο πρὸς τὴν ψῆφον, ἀλλ᾽ οὔ τι 7
θεὸς ἐπεψηφίζετο καὶ τοῦ ξυλλόγου πᾶν ὁπόσον ἀγχινούστερον οὐκ ἐπένευκεν, ἀλλά τις τῶν βαθυτέρων καὶ προσεπέλεγεν· «τοῦτο τὸ ὑπόδημα Ἱστιαῖος μὲν ἔρραψεν Ἀρισταγόρας δὲ ὑπεδήσατο.» τί οὖν ῾ὁ τῆς ἀληθείας θεὸς᾽ ὁ ποιῶν ῾κρίμα τοῖς ἀδικουμένοις᾽; ἐκεῖνα μὲν οὐκ εἰς μακρὰν ἐπήμυνεν ἀδικουμένῳ τὰ καίρια, τὸν δὲ τοῦ ψεύδους ὑποφήτην οὐκ εἴασε τέλεον κατορχήσασθαι. τί δεῖ με μακρηγορεῖν πρὸς εἰδότας τὰ πολλά; ἑάλω καί, δευτέραν ἐπιβουλὴν ξυντιθείς, βεβήλων τὸ βῆμα καταγώγιον ἀποκαλῶν καὶ πλήρη θεομαχούντων εἶναι τὰ ἀνάκτορα δυσφημῶν, οὕτω λαθὼν εἰς ἀπειροκαλίαν ἐξήνεγκε τὴν ὑπόκρισιν. ἀγανακτοῦσιν οἱ παρατυχόντες, ἐπιστομίζουσι θρασυνόμενον, εἰς δεσμωτήριον βάλλουσι, ⟨πληγὰς⟩ πολλὰς ἐντριψάμενοι πρότερον, καὶ γίνεται κατήγορος ἑαυτοῦ καὶ τὸ πρώην ἐκεῖνο ἀνακαλύπτει σόφισμα.

Ὁ δ᾽ ὁ δεινὸς σοφιστὴς ὑφορᾶται τὸν ἔλεγχον καὶ προϋποπτεύει τὸν 8
μύστην καὶ δέδιε μὴ τὸ μυστήριον ἐξορχήσαιτο. τὸ γοῦν παραυτίκα σύβαριν ἐδείκνυ τὴν εἱρκτήν, καὶ ὁ δεσμώτης ἐτρύφα. μετὰ μέντοι βραχὺ κἀκεῖνον ἔλυσε τῶν δεσμῶν καὶ τοῦ δέους αὐτὸν προσαπέλυσεν. ἆρ᾽ οὐ σαφὴς ταῦτα ἔλεγχος, ἆρ᾽ οὐ πρόδηλα τὰ σύμβολα, ὡς ὁ μὲν ταῖς ἱεραῖς στήλαις ἐπεβούλευσεν ὁ δὲ ξυνεβούλευσε καὶ ξυνεπεβούλευσεν; ἀλλ᾽ οὕτω γεννάδας ἐστὶ καὶ τοιοῦτον αὐτῷ λῆμμα ἐμπέφυκεν, ὡς †ἐπὶ δ᾽† αὐτοῖς πράγμασιν ἁλισκόμενος πείθεσθαι, ἀλλ᾽ ἔτι καὶ θρασύνεται καὶ τὴν ἀπὸ τῶν ἔργων μαρτυρίαν φαῦλον ἡγεῖται· καὶ ξυνειδέναι μὲν οὐδὲν ἀπισχυρίζεται, διαπορεῖν δὲ σκέπεται, καὶ μηδ᾽ ἀκριβῶς ἐννοεῖν ὑπὲρ ὅτου δὴ καὶ γραφόμεθα. καί που καὶ συχνὰ πυνθάνεται· «τί γὰρ ὅδε καὶ προσέκρουσεν, ἵνα συνειδότος εὐθύνωμαι;» οὐ γὰρ εἶναι τοῦτο ἀσέβημα οὐχ ὕβριν εἰκόνων οὐ θεομάχον ἀπόνοιαν. «οὔτε γὰρ ἀποφορά τις ἐκεῖθεν ἔπνει βαρύοδμος, ἀλλ᾽ οὐδὲ τῶν ἄλλως ἀπειρημένων τι προσετέτριπτο.»

Δεῖ γοῦν πρῶτον, ὅπως ἠσέβησαν ὑπογραψαμένους, οὕτω κἄν τις ἕτερος 9
ξυνήρατο διερευνήσασθαι. τί οὖν, ὦ ἄνδρες, ἐγώ φημι; εἰ τὰς χεῖρας ἐπὶ κακῷ τοῖς τιμίοις ἐπέβαλε, δῆλον ὅτι καὶ περιύβρισεν, οἷς δὲ περιφρονεῖν ἐτόλμα πάντως ἠσέβησεν. ἢ γοῦν οὐκ ἐπὶ τοιούτοις ἐφήψατο, καὶ τὸ ἔγκλη-

μα πέφευγεν, ἢ χεῖρας ἀθεμίτους ἐπήνεγκεν, καὶ χειρὸς δημίου δεῖται. τὸ τόλμημα νυκτὸς ἐπέθετο, μηδενὸς ὁρῶντος ἐπέχραινεν· οὐκοῦν τῷ λάθρα τὸ κακουργεῖν ἕπεται. εἰ δ' οὐχ ὕβρις τοῦτ' ἔστιν, ἀποθειασμὸς ἄν τις εἴη καὶ τῶν ἱερῶν ἀφοσίωσις. εἰ δὲ τοῦτο λέγειν ἀτοπώτατον, ἐκεῖνο τιθέναι λοιπὸν εὐλογώτατον. οὗτος ὁ λόγος ἁπλοῦς ἁπανταχῇ καὶ δίκαιος· εἰ δίκαιον οὐκ ἄδικον, εἰ καλὸν οὐκ αἰσχρόν, εἰ λυσιτελὲς | [298] ⟨. . .⟩. εἰς νοῦν ἐκείνοις ἐπῆλθε χρῆμά τι ξένον κακίας· οὔτω τι ξύνθετον οὐκ οἶδεν ὁ νομοθέτης, ἀσέβημα τὸ τοιοῦτον ὅ τι μηδ' ἁπλῶς οἶδε· καὶ οὐ τοῦτο μόνον ἠγνόησεν, ἀλλὰ καὶ τὰ ἕτερα. καὶ οἱ κακουργοῦντες οὐ παρὰ τοῦτο ἀνεύθυνοι. τὸ γὰρ ὡς ἕκαστα καταλέγειν ὅσα καὶ ὅπως διαμαρτήσεται, δύσεργόν τε καὶ ἄλλως ἀπέραντον, ὅθεν ὁρισάμενος, τίς ὁ κακουργῶν καὶ τί τὸ κακουργεῖν βούλεται. τὰς εὐθύνας εὐθὺς ἐπιφέρει· τοὺς δὲ τρόπους, καθ' οὓς ἀσεβήσει τις, αὐτοὶ προσεφευρίσκουσι μικρὰ φροντίζοντες καὶ τῶν νόμων καὶ τῆς ἐκ τῶν νόμων ποινῆς. ἐπεὶ καὶ κλέπτην ἀποφαίνεται τὸν ὑφαιρούμενον τὰ ἀλλότρια, τὸ δ' ὅπως ἀπεσιώπησεν, εἴθ' ὅτι νυκτὸς εἴθ' ὅτι μεθ' ἡμέραν, εἴθ' ὅτι τὸν ὀπισθόδομον ὑπορύξας ἢ τρόπον ἕτερον ἐπιθέμενος. καὶ τυμβωρυχίας κρίνει τὸν οὐχ ὁσίως τὰς τῶν τεθνεώτων ἀναρρήξαντα θήκας· εἰ δ' ὡς ἐχθροῦ τὴν κόνιν ἐκεῖνος ἐσκέδασεν, εἰ δὲ καὶ χρημάτων ἐρῶν, οὐκ ἐφρόντισεν. αὐτόμολον οἶδε καὶ τὸν εἰς ἐχθροὺς ἀποδράντα, τὸν δὲ τοῦ δρασμοῦ τρόπον οὐκ ἐπολυπραγμόνησε. πῶς οὖν ὑμᾶς τὸ τῆς τόλμης καινὸν ἐξαιρήσεται; μᾶλλον μὲν οὖν καὶ ὡς κακίας καινοτέρας ἐφεύρηται, καινοτέραν καὶ τὴν τιμωρίαν ὑφέξεται.

**10** Ὅ τι μηδ' ἂν νομοθέτης ὑπώπτευσεν, ὑμῖν πεπανούργευται. ὁ μὲν πρῶτος ἆθλος ἐκτετέλεσται καὶ διήνυσται, καὶ ὡς δυσσέβημα τὸ κακούργημα δέδεικται· ὅτι δὲ καὶ τῆς τούτου γνώμης ἐξήρτηται, λοιπὸν ἂν εἴη λέγειν· καὶ ὁ λόγος πρὸς ὅ τι καὶ τὴν ἀρχὴν προὔθετο τρέψεται, ἀλλὰ καὶ πάλιν οὗτος ἀγανακτεῖν σχηματίζεται· μὴ γάρ, οἷς ἐθεομάχησεν ἕτερος, αὐτὸν προσήκειν εὐθύνεσθαι. ἀλλὰ τί καὶ σχετλιάζεις; τί καὶ βαρυθυμεῖς, ὅτι πρὸς σέ μοι ὁ λόγος μετέστραπται καί, ὧν οὗτος ἐτόλμησεν, ἐπὶ σὲ καὶ τὴν σὴν κεφαλὴν περιάγω τὸν κίνδυνον; οὗτος ἔχρησε τὰς χεῖρας, σὺ τὴν ὕβριν ἐσκαιώρησας· οὗτος τὸν ἆθλον ὑπέστη, σὺ πρὸς τὴν τόλμαν ἐπέρρωσας. καὶ δεῖ τὸν ἀλείπτην οὐχ ἧττον ἢ τὸν ἀθλητὴν αἰτιᾶσθαι. ἐπησκήσω κατάρατος τὸν κατάρατον εἰς ἀναίδειαν, καὶ δέχου τὸν ὡς ἐπὶ τοιούτοις στέφανον. ὡς καλὸν ὑμῖν τὸ παγκράτιον. καινὸν τρόπον σὺ μὲν κατὰ μαρ-

τύρων ὑπείληφες, ὁ δὲ τὰς μαρτύρων στήλας ἐπήλειφε. παράδοξον ὑμῖν τὸ στρατήγημα· σὺ μὲν τὸν ἐπὶ τοῖς μάρτυσιν ὑφηγοῦ λόγον, ὁ δὲ κατὰ μαρτύρων σκιαμαχῶν ὡπλίζετο. ὡς ἐγὼ τῆς νίκης αἰτιῶμαι τὸν στρατηγὸν μᾶλλον ἢ τὸν ὑπασπιστήν, οὕτως ἐν παλαισταῖς ἐδίκαζον οἱ Δελφοί, οὕτως ἐν παγκρατισταῖς ἐν πύκταις ἐν σταδιοδρόμοις ἐν ἅπασι. διὰ τί; ὅτι ὁ μὲν ἀλείπτης καὶ ὁ στρατηγὸς ἀρχιτεκτονοῦσιν, οἱ δ᾽ ὑπείκουσιν. ὅμοιον, ὡς εἴ τις ξίφος ἐπανατεινάμενος παίσειε τῶν τινα πολιτῶν· κἀνταῦθα γὰρ ὁ μὲν ἐκίνησε, τὸ δ᾽ ὡς ὄργανον ὑπηρέτησεν. εἰ δ᾽ ἐνταῦθα τὸ τὴν πληγὴν εἰργασμένον ἄψυχον, ἀλλὰ καὶ στρατιώτης καὶ ξίφος καὶ ἀθλητὴς πάντα ἑτεροκίνητα· ἀποτρόπαιον δὲ καὶ σίδηρος λύθρου ἀποστάζων ἀδίκου, καί τις ἰδὼν ἀπεσείσατο. διὰ ταῦτα οὔτε τὸν κακῶς ὑπηρετησάμενον ἀπολύσομαι τῆς εὐθύνης καὶ τῆς γραφῆς, καὶ τὸν ὑποθέμενον τὰ παράνομα πολὺ μᾶλλον γεγράψομαι.

11 Ξυνίστορά σε τῆς μιαρᾶς ἐπιθέσεως, οὐκ αὐτόχειρα τίθεμαι. οὐκ ἐπεχείρησας, ἀλλ᾽ ἐπενόησας· οὐκ ἐξέτεινας τὴν δεξιάν, ἀλλὰ τὸν νοῦν προεξέτεινας. | 298v] εἰ καὶ γὰρ οὐκ ἐνῆν ἄλλως ἐξαμαρτεῖν, εἰ μὴ καὶ τὸ δεινὸν αὐτοχειρίᾳ τολμήσει τις, ἴσως ἄν τι καὶ λέγειν ἐδόκεις. ἐπεὶ δ᾽ οἱ βαθεῖαν τὴν ἀλωπεκῆν ἐπισείοντες τὰς μὲν χεῖρας ἐπέχουσι τὰς δὲ βουλὰς ἐπιτείνουσι, μάταιον τουτό σοι πρὸς ἀπολογίαν, οὐκ ἰσχυρὸν εἰς παράκρουσιν. οὐκ ἀκούεις τῆς κωμῳδίας τιθεμένης ‘τὼ μὲν χεῖρ᾽ ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλωπιδῶν᾽; τί δ᾽ ἂν αὐτῇ τουτο βούλοιτο; ἢ ὅτι καὶ τῇδέ που παρόντας ἑτέρωσε κακουργεῖν οὐ παράδοξον;

12 Ἀλλὰ τῆς προτέρας ἀγωγῆς ὡς ἱερᾶς ἀγκύρας προσεπιδράττῃ· μὴ γὰρ εἶναι τὸν οὕτω βεβιωκότα μηδ᾽ ἁπλῶς ἐθελῆσαι τηλικαῦτα παρανομῆσαι. καλῶς — οὐκ ἀποποιοῦμαι τὴν ἐκ τῶν ἔργων συνηγορίαν. οὐκοῦν ἐπιβεβαιοῖ σοι τὸ παρὸν τὰ προειργασμένα τὰ προβεβιωμένα, καὶ βίον ὅλον ἔχεις κατήγορον. ἀξιῶ δὲ ὑμᾶς, ὦ ἄνδρες, ἐπεὶ πρὸς τοῦτον ἐμπέπτωκα τὸν λόγον, μή με φιλολοίδορον μηδὲ σκαιὸν ἄλλως νομίσητε. περικρύψαι μὲν γάρ, ὡς ἂν οἷός τε ὦ, πειράσομαι τὰ πολλά· εἰ δέ τι καὶ περιπλέκειν οὐ δίδωσιν, οὐχ ὁ βιασθεὶς ἐξειπεῖν, ἀλλ᾽ ὁ δράσας ἀπαρακαλύπτως αἴτιος. τούτῳ πατὴρ μὲν ἦν πένης τὴν τύχην θαλαττοκόπος τὴν τέχνην· οὐ τριηράρχης οὐ κυβερνήτης, ἀλλ᾽ οὐδὲ τριηρίτης τὸ φαυλότατον ἢ ‘θαλάμαξ᾽, οὓς ἡ κωμῳδία διαπαίζει (πολλοῦ μέντ᾽ ἂν ἦν ἄξιος, εἰ τοῦτον ἐπλήρωσε τὸν κατάλογον), ἀλλ᾽ ἀπὸ λυπρῶν ἰχθυδίων ἐναριζόμενος τὴν τροφήν, ἀκάτιόν τι δύσσελμον, ἐπὶ μισθῷ καὶ τοῦτο, ἐρέττων. μετανάστης ὡς ἐπίπαν ἀλ-

λοτε ἄλλην τῶν πόλεων ἐπιπλέων, τελευταῖον ἐπὶ τὴν Διογένους χωρεῖ καί, πέλαγος ἰχθυοτρόφον ἐπὶ μακρὸν ἀναπεπταμένον ἰδών, πῶς ἂν εἴπῃ τις, ἐχωροφίλησεν ἐκεῖσε καὶ γυναῖκα ἤλπισεν ἀγαγέσθαι (τῷ τέως γὰρ ὤκνει καὶ οὐκ ἐθάρρει τὸν γάμον), ἀλλ' ἡ Τύχη καὶ πάλιν ἀντέπνευσε καὶ ἀλλοτρίας ὁλκάδος ἐπιβὰς ἐπὶ τοὺς Βοσπορίους βαρβάρους ἔπλευσε. λιμὸς δὲ καὶ γαστὴρ ἤπειγεν. οὐ γὰρ ἐκάλει θεὸς ὡς πάλαι τὸν Ἀβραάμ, ἵνα τὸν καλὸν Ἰσαὰκ ἀντιδοίη τῆς πίστεως, ἀλλά τις δαίμων ἀλάστωρ, ἵνα θυμοβάρβαρον Σκύθην ἡ ψυχρὰ Μαιῶτις μαιεύσηται καὶ τὸ βῆμα παρεισδὺς ταχὺ τῶν Σκυθῶν ἐρημίαν ἐργάσηται, πῇ μὲν ὡς δυσηκόους τοὺς ὑπηκόους διωθούμενος πῇ δ' αὐτοῖς τοῖς τῶν ἱερῶν προκαθημένοις κακὰ βουλεύων καὶ μυρία δυσφημῶν καὶ κινῶν τὰ ἀκίνητα.

**13** Ἠκούσατε ὅπως ἀπὸ Σκυθῶν τὸ πεῖσμα τοῦ γένους ἐβέβλητο, Σκυθίδα μητέρα εὐτυχήσας, καὶ λιμοῦ πόρισμα γεγονὼς καὶ λυπρᾶς τροφῆς παρεμπόρευμα. τὸν δ' ἐντεῦθεν ἐκφῦντα καὶ χριστομαχεῖν ἐθέλειν οὐδὲν ἄπιστον. εἶτα καὶ τὸν παῖδα ἐπαγόμενος ὁ πατὴρ ἐπὶ τὴν Μεγαλόπολιν παλινοστεῖ, καί, τρέφειν οὐχ οἷός τε ὤν, ἀποπροσποιεῖται τὸ πατὴρ εἶναι καὶ φέρων ἐγχειρίζει τῷ μητραδέλφῳ, πένητι μὲν ὄντι καὶ τούτῳ, φιλήσειν δὲ ἄλλως ὑπεσχημένῳ καὶ ὅσα καὶ παιδὸς ἐπιμελήσεσθαι. ὁ δὲ γραμματοδιδασκάλοις ἐκδίδωσιν. ὡς δ' ἀμφὶ τὸ μειράκιον ἔφθασεν, ὑπήγγε⟨λ⟩λέ τι καὶ ὥρας καὶ ἦν αἱμύλον καὶ λαλιὰν ἤσκει καὶ πάνθ', οἷς ἀγάλλεται τὸ φιλόκαλον, ἐπετήδευεν. ἐπεὶ δ' εὐπρόσωπος ἅμα καὶ φιλάνθρωπος ἐδόκει καὶ τῇ μητρὶ ὅμοιος, ὁρᾷ τῶν τινα ξυνηλικιωτῶν ὀφθαλμιῶντα καὶ θεραπεύει τὸ πάθος. ἐντεῦθεν αὐτῷ τὰ τῆς ἑταιρείας ἄλυτα. τίς τὴν καλὴν ἐκείνην ξυνωρίδα ἠγνόησε; τίς οὐκ ἐθαύμασε τῆς φιλίας; τίς οὐ Μολιονίδας ἐκάλεσε, ξυμφυεῖς ἄλλως ὁρῶν ἧπερ ὁ μῦθος ἐτερατεύσατο; ἐπὶ τοσοῦτον ἀλλήλοις ξυνεδέθησαν καὶ ξυνετάκησαν καὶ ὡς εἰς ἓν ξυνεκράθησαν. ἀλλὰ τί τοῦ φιλοῦντος ἀπώνατο; προὔχων ἐκεῖνος τὴν ἡλικίαν ἐνέσπειρεν αὐτῷ μυρία τῶν μαθημάτων, παιδοτριβῶν ὁσημέραι καὶ ὡς ἥδιστα ἐξασκούμενος. ὡς δ' ἧκεν ὀψέ ποτε καὶ χρόνος ὁ τοῖς καλοῖς ἐπίβουλος, οὐκ ἔπαθε τὸ τῶν πολλῶν οὐκ ἀπείπατο τὴν ἑταιρίαν οὐκ ἐκαρτέρησε τὴν διάζευξιν, ἀλλ' ἔρωτι τῆς ὑπ' ἐκείνῳ διατριβῆς καὶ ὡς ἂν ὑφ' ἑταίρῳ | καλῷ τε κἀγαθῷ μένῃ παιδαγωγούμενος, ἐπιτολμᾷ τι καὶ παραβολώ- 299]



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/108 UNIVERSITÄT LEIPZIG

τερον· ἀνανδρίαν ἑαυτοῦ καταψηφίζεται καὶ ὑποπίπτει τοῖς τέμνουσι, πάντα πάσχειν καὶ παρὰ φύσιν δουλεύειν ἔνθα †τὸ κερ† οὐκ ἀποκνεῖ.

14 Ἀπείρηκα περιπλέκων, ὦ ἄνδρες, νὴ τὴν ἱερὰν Σωφροσύνην καὶ οὓς ὑμεῖς ὑπὲρ σωφροσύνης πρεσβεύετε νόμους, καὶ οὐκ οἶδ' εἴπερ ἥντιναοῦν ἔμφασιν παραλέλοιπα. ἆρ' οὖν μοι δοκεῖτε κίναιδον αὐτὸν εἰπεῖν; ὁ δ' ἑταιρικῶς καὶ μὴ τῷ σώματι καθαρεύων, εἶτα ἐπιπηδήσας τῷ βήματι, πῶς ἂν οὗτος ὀρθῇ γνώμῃ περὶ τὸ θεῖον φέροιτο; ἢ τίνος καὶ τῶν ἀτοπωτάτων ἀποσχέσθαι βουλήσοιτο; ἢ πάντα τολμητὰ τούτῳ ἔσται, πάντα εὐεπιχείρητα; φόβος τὰ θεῖα 'τοῖσι σώφροσι βροτῶν'· ὁ δ', οἷς ἔφθην εἰπών, ἔνοχος ὤν, εἰκότως καὶ τότε τῶν ἀδύτων ⟨. . .⟩ ἐτόλμησε. καὶ νῦν, ἀνόσιος ἐν ὁσίοις, ἀθεμιτουργεῖν οὐκ ἀπώκνησε τὰ μὲν τῆς προτέρας ἡλικίας καὶ δὴ τοιαῦτα καὶ οὕτω νεανικά, τὰ δ' ἐφεξῆς καὶ ὅσα εἰς ἄνδρας ἥκων ἐπολιτεύσατο. ἐπιπόλαιον μέν τις ἰδὼν καὶ μὴ ξυμβαλὼν τὸ πλάσμα καὶ τὴν ὑπόκρισιν, θᾶττον ἂν ἐπεφώνησεν· 'ἀνὴρ ὅδ' οὐκέτ' αὐτός· ἐκνεύει πάλιν'. βραχὺ δ' ἐπιστήσας καὶ καταμαθών, ταχὺ παλινῳδίαν ᾄδων ἀνταπεφώνησεν· «'ἔστι δ' ἡ πάλαι γυνή'· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸ σχῆμα ἐξήλλακτο.»

15 Αὐτίκα περὶ τοὺς νεὼς ἐνδιατρίβειν ἄρχεται, πλέον ἤπερ οἱ τῶν νεωκόρων ἐπιμελέστεροι, καί, τοὺς ὀφθαλμοὺς ὡσεὶ κέρα ἠὲ σίδηρον ταῖς ἱεραῖς εἰκόσι ἐπερεισάμενος, ὑπεψιθύριζέ τι λεπτὸν συχνὰ ἐπὶ γόνυ πίπτων, δακρύων, θεοκλυτῶν· πᾶσι τρόποις τὸ θεοσεβὲς δοκεῖν εἶναι θηρώμενος, μηχανᾶται καὶ τὸ εὐπροσήγορον. ὑπὲρ ὅτου δὲ τὸ προσωπεῖον τοῦτο ἐπλάττετο; εἶδε, βαθὺς ὢν τὴν κακόνοιαν, ὡς ἅπασιν οἷς ἀρετῆς μέλει καὶ θεοσεβείας μέλει, καὶ τὰ ἱερὰ ἐσφοιτῶσι καὶ γίνεται θέατρον εὐσεβούντων τὸ τέμενος. εἰ γοῦν τό τε στάσιμον ἐν προσευχαῖς ἐπιδείξαιτο καὶ τὸ φιλοπροσήγορον ἐπιτεχνώσαιτο πραεῖαν καὶ μειλίχιον κερασάμενος τὴν φωνήν, ῥᾶον ἂν δελεάσῃ τοὺς ἁπλουστέρους. ἐθάμιζε καὶ περὶ τὰ σκηνεῖα καὶ τοῖς τῶν μοναχῶν ἐπισημοτέροις τὴν φήμην ἢ τὴν ἀρετὴν θαμὰ ἐπεμίγνυτο. ἄλλο τοῦτο δέλεαρ· ἐγκράτειάν τε γὰρ ἐνάκριζε καὶ τὸ ἄπραγμον ἐθαύμαζε καὶ λαχαν⟨ον⟩ηφαλίαν ἐπῄνει καὶ ὕδατος ἔσπα. ἐκ τούτου καὶ τὴν προτέραν κακοφημίαν ἀπεσκευάσατο καί τις αὐτοῦ λόγος καὶ περὶ τὰ ἀνάκτορα ἔρρει, τῶν μοναχῶν ὡς εἰκὸς διαπορθμευόντων. οὐ γὰρ ἠμέλει περιὼν ὁπόσους ᾔδει τούτων αὐλικοὺς καὶ οἰκότριβας.

16 Τοιοῦτον αὐτοῦ τοῦ βίου τὸ πρόσχημα, τοσοῦτον τὸ δολερὸν καὶ πολύ-

τροπον. ὑπὲρ τὸν χαμαιλέοντα δεινὸς ἐναλλάττεσθαι, ὑπὲρ τὸν Ἀλκιβιάδην τοῖς προσπεσοῦσιν εὐφυὲς ἐναρμόττεσθαι. χθὲς μὴ δυσηνίους εἶναι τοὺς ὑπὸ χεῖρα ἐδίδασκε καὶ σήμερον ἐπὶ τὸν ἀρχιερέα πάντα δόλον καθιεὶς οὐκ αἰσχύνεται. μὴ χρημάτων ἕνεκα πρὸ μικροῦ στασιάζειν ἐνομοθέτει καὶ νῦν ἐπὶ χρήμασι πάντα πράττων πεφώραται. εἰς ἀσέβειαν ἐλοιδόρει πρὸ τοῦ θρόνου καὶ τῆς ἀξίας καὶ μετὰ βραχύ, τὴν φωνὴν ἀλλαξάμενος, ἀπεκάλει φιλόχριστον, μικρὸν αὖθις καὶ πρὸς τὴν προτέραν χωρεῖ δυσφημίαν, ὡς οἱ κύνες ἐπὶ τὸν ἔμετον. πουλύποδος ὀργὴν ἴσχει κατὰ τὴν ποίησιν. ʽἐπὶ τὸν εὖ πράττοντα τοῖχονʼ ἀεί, κατὰ τὴν παροιμίαν, μεταπηδᾷ, τύχης ἀνδράποδον καὶ φοροῦ πραγμάτων δοῦλος, ἄνθρωπος κύβου πολυπτωτότερος τοῦ Εὐρίπου παλιντροπώτερος, μόνον ἀρετῆς χρῶμα ἐπιμορφαζόμενος, χολοβάφινος οὐ χρυσοῦς τὴν εὐσέβειαν. οὐκ ἐπαινεῖ τὸ γενναῖον Αἰσχύλου τὸ ʽμὴ δοκεῖν ἄριστος, ἀλλʼ εἶναι θέλεινʼ ἀποφαινόμενον, τὸ Εὐριπίδου βωμολόχον ἀποθαυμάζει τὸ ʽδοκεῖν, κἂν ἀπῇ τῆς ἀληθείαςʼ ἀποδεχόμενον.

17 Εἶτα, ὦ κατάπτυστε, τοιοῦτος ὢν καὶ τοιαῦτα βεβιωκώς, τὰ πρὸ τοῦ σοι πεπολιτευμένα παράγειν οὐκ ἐρυθριᾷς; ἀπὸ τούτων ἁλίσκῃ μᾶλλον ὡς οὐδὲν ἂν ἦν σοι τῶν αἰσχίστων ἀβούλητον. | [299v] πάλαι τὸν δείλαιον ὑπεκάθου καὶ νῦν, καιροῦ δραξάμενος, ἐπέθου. ἐκ μακροῦ τὸ μῖσος ἔτρεφες καὶ δῆλος ἦς ἐπικρατεύσων, εἰ καὶ τύχῃ ξυνάροιτο. ὑφωρῶ τὴν τῆς ἐπιτιμίας ἔκπτωσιν, ὑπώπτευες καὶ χρημάτων ἀποβολήν, προσυπώπτευες καὶ ὅσα πρὸς ὕβριν δεινὰ καὶ σχέτλια. τί δʼ ἂν μὴ πρὸς ἄμυναν ἐπενόησε Σκυθική τις φύσις ἀπονενοημένη καὶ θανατῶσα; τί δʼ οὐκ ἂν ἐπήνεσεν εἰς ἐχθροῦ ζημίαν ἧκον καὶ θυμὸν ἐμπλῆσαι δυνάμενον ἐλλεβόρου δεόμενος ἄνθρωπος; ὡς ἀπὸ Μαιώτιδος ψυχρὸς τὴν ἀγάπην τὴν πίστιν ψυχρότερος μόνον τὸν θυμὸν ἐμπύριος. εἰ δὲ καὶ σαυτὸν ἔπληττες τὴν καιρίαν, μᾶλλον οἷς θεομαχεῖν ἐπεβάλλου. Σκυθικόν σοι καὶ τοῦτο καὶ συγγενές· ἐκεῖνοι λοχῶσι τὸν ἐχθρόν· ἂν δὲ καὶ μετὰ τὸ δρᾶσαι δεήσῃ παθεῖν, οὐκ ἄχθονται. προσέτι καὶ θυμός, εἰς μανίαν ἐκκυλισθείς, οὐκ οἶδεν ἀκριβολογεῖσθαι πρὸς ἄμυναν. τρίτον ὅτι μηδʼ ἀρχαιόπλουτος εἶ τὴν εὐσέβειαν, ἀλλʼ ὑποσκάζεις τὰ μητρόθεν περὶ τὸ σέβας, καὶ δέδια μὴ τὸν

*Ἀκινάκην τιμᾷς καὶ ἀποθειάζεις τὸν Ζάμολξιν. Χριστὸς δέ σοι καὶ τὰ Χριστοῦ πρόσχημα καὶ προσωπεῖον καὶ Σκυθικοῦ περίκρυψις. τί γὰρ καὶ τῶν τοῦ Χριστοῦ ζηλώσας ἔχεις; τὸ φιλάνθρωπον; ἀλλὰ τὸ φιλάληθες, ἀλλὰ τὸ μὴ πρὸς ὀργὴν εὐέξαπτον, ἀλλὰ τὸ μὴ πάντα τολμᾶν ἐθέλειν ἐπὶ χρήμασι; πάντα σοι ταῦτα ʽκενὴ μακαρίαʼ, καὶ τοῖς λόγοις τρισόλβια, τοῖς δὲ ἔργοις ἀνόνητα.*

*Πολλάκις βούλεταί τις ἀνοσιουργεῖν, ἀλλʼ, ἰδὼν ὡς οὐκ εὐεπιχείρητον,* 18
*ἐπέχεται. τὸ δὲ σὸν τοῦτο πολλὴν ὅσην ἀποφέρεται τὴν δυσχέρειαν· εὗρες τὸν ξυλληψόμενον καὶ κολοιὸς πὰρ κολοιὸν ἰζήσας ξυνερράψω τὴν ἐπιβουλήν· τὸν αὐτόν σοι φόνον ὑπέτυφε, τὴν αὐτὴν δυ⟨σ⟩θεΐαν ὑπέτρεφε, καί, σου τῆς ξυμβουλῆς οἷά τινος δραξάμενος πνεύματος, ταχὺ τὸν πυρσὸν ἐπὶ μέγα ἦρε· καὶ ὁ ταλαίπωρος ἐκεῖνος ὑφʼ ὑμῶν αὖθις ἐπρηστηριάζετο. εἰ δὲ ʽτὸν ὁμοῖον ποτὶ τὸν ὁμοῖον ἄγει θεόςʼ, ἀλλʼ ὑμᾶς οὐ θεὸς τὸ τηνικαῦτα ξυνῆγεν, Ἐρινὺς δέ τις θεομάχος ξυνῆγε. ἔρημα τὰ μαρτύρων προὔκειτο καὶ σχεδιάζει τὴν ὕβριν. ἐξῆν καὶ νυκτὸς μέσης καὶ περὶ πλήθουσαν ἀγοράν, βούλησις ἦν τὸ πᾶσαν ξυνειληφὸς τὴν δυσχέρειαν. ἀλλʼ ὁ τρόπος ὑμῖν καὶ τοῦτο ῥᾷον ἐποίει, ὥς τό γε δύνασθαι ταὐτὸν καὶ τὴν δεξιὰν προτεινόμενον βραχύ τι προσεπιχρῖσαι τοῦ μέλιτος. ἢ μέγα καὶ οὐκ εὐπόριστον τὸ ἀνάλωμα· εἰ δὲ ʽτοιοῦτος ἕκαστος οἷσπερ ἥδεται ξυνώνʼ, οὐκ ἀπίθανά μοι τὰ τῆς κατηγορίας οὐδὲ ψιλή τις ὑπόνοια καὶ μάταιος στοχασμὸς ἐξ οὐκ ὄντων πλαττόμενος. ὑπερεφίλεις καὶ προτοῦ τὸν ἀνόσιον, ἐκοινώνεις τούτῳ τῶν ἀπορρήτων, πάντα ξυνεπεβούλευες καὶ ξυνεπεχείρεις. νυκτὸς περὶ τὴν σὴν οἰκίαν ἐφοίτα, μεθʼ ἡμέραν ξυνδιέτριβε. λόγους οὓς μὲν αὐτὸς διεπόρθμευεν οὓς δʼ ἀπὸ τῆς σῆς περινοίας ἐδέχετο. κατηγορίας ἄμφω ξυνετίθεσθε. ὁ μὲν προὔβάλλετο σὺ δʼ ἐπεμαρτύρεις· οἵους οἴμοι πρωταγωνιστὰς τῆς εὐσεβείας εἶδεν ἥλιος. ὕποπτον καὶ τὸν ἀγῶνα ἐκεῖνον εἰργάσασθε. ἐπεὶ δὲ καὶ ὁ ἆθλος τετέλεστο, τίς ἂν εἴποι τὰς δεξιώσεις τὰ φιλίτια δεῖπνα, τὰς φιλοτησίους κύλικας, ἃς ἀλλήλοις χανδὸν προὔπίνετε, τοὺς κροταλισμοὺς τὰς ἀναβακχεύσεις, τοὺς ἐκεῖθεν ἀναβράζοντας γέλωτας τὴν ἀκόρεστον ἡδονὴν τοὺς ἐπινικίους*

παιᾶνας; τάχα καὶ ὑπωρχήσασθε παράφοροι καὶ μεθύοντες, οἱ τῆς ἐκκλησίας τρισαριστεῖς οἱ τριταγωνισταὶ τῆς πίστεως.

19 Βραχὺς ἐρρύη καιρὸς καὶ τὸν ξυναθλητὴν καὶ φίλον ξυμπότην εἰς μέσον παρῆγες, ὁ δ᾽ ἐξετραγῴδει τὰ περὶ τοὺς μάρτυρας. ἐπεὶ δὲ καὶ τίς ὁ σκαιωρήσας ἐπύθοντο, ξυνεπνεύσατε πάλιν κατὰ τοῦ δυστυχοῦς καὶ μιάστορα τῶν ἁγίων ἀπεκαλεῖτε καὶ τρισεπάρατον καὶ ψευδόχριστον. ὡς δ᾽ αὐτόχειρ τοῦ κακοῦ μετὰ μικρὸν ὁ κατήγορος ἐξελήλεγκτο καὶ περὶ ψυχῆς ἐκινδύνευσεν, οὐ προὔδωκες τὸν ξυναριστέα τὸν ξύμμαχον, ἀλλὰ καὶ ὑπὸ φρουρὰν ὄντι τὰ Συβαριτῶν ἐκαρύκευες· εἶτα καὶ τῶν δεσμῶν ὑπελύσω. ἀπὸ τούτων ἐγώ σε ξυνειδότος γραφόμενος, τοσούτοις | [300] τεκμηριοῦμαι τὸ δύσθεον. ἄλλος ἄν σε καὶ μόνης τῆς πρὸς αὐτὸν ἑταιρίας ἐκρίνει, ἤρκει σοι πρὸς κατηγορίαν καὶ τὸ πρὶν εἰς ταῦτα ἐμπεσεῖν φίλιον· τὸ δὲ καὶ προσιέναι σοι πρώτῳ καὶ μηνῦσαι δῆθεν, τοῦτο οὐ ξύμβολον ἐναργὲς τοῦ ξυνασεβῆσαι θείη τις; τὸ δὲ καὶ διίπτασθαι, δικαίως κινδυνεύοντα περισώσασθαι, οὐκ εἰς ἔλεγχον τοῦ ξυνάρασθαι; σὺ καὶ τοῖς προτέροις ὑπεύθυνος καὶ τοῖς μέσοις ἔνοχος καὶ τοῖς τελευταίοις ὑπόδικος. εἰ μὴ τρυφᾶν ἐχαρίζου καὶ καθει⟨ρ⟩γμένῳ, μικρὸν ἄν σοι πρὸς ἀποφυγὴν ἐλείπετο· εἰ μὴ καὶ τῶν δεσμῶν ὑπελύσω, εἶχες ἄν τι καὶ πρὸς παραίτησιν. νῦν δ᾽, ἐπεὶ καὶ δεσμώτην περιεποιοῦ τὸν εἰκότως ἂν ἀπολούμενον καὶ τῆς φρουρᾶς ὑπεξῆγες τὸν καὶ τῆς τῶν Τιτάνων φρουρᾶς ἄξιον, ἆρ᾽ ἐπ᾽ οὐ δικαίοις ἀγανακτῶ; ἆρ᾽ ἐπ᾽ οὐκ ἀξίοις εὐθύνω; σὺ δέ, εἰπέ μοι, οὐκ ἀπὸ τοιούτων ξυνειδότος ἐδίωκες πρὸ μικροῦ — νήφων μεθύων ἄνθρωπος — εἰς ἀσέβειαν; ὁ δ᾽ ὑπερφιλεῖ τοῦτον· τοῦ θαλεροῦ κρατῆρος ἄρα ἔσπασεν· ᾐκίζετό τις ἐκεῖνον, ὁ δ᾽ οὐκ ἐπέτρεπεν· ὡς ξυναιρεσιώτην ἄρα περιεσώσατο. οὐ τοιαῦτα ἐπέραινες; καίτοι ἐκεῖνα μὲν οὐ τοσαύτην ὑπέφαινε τὴν ἐνάργειαν· ἐφ᾽ οἷς δ᾽ ἐγὼ τὸν ἀγῶνα ἐνεστησάμην, πολὺ τὸ φανερὸν καὶ πεπλανημένον οὐδέν, μόνον οὐχ ὑπορράπτουσι τὴν ἀλήθειαν.

20 Ὁρῶ μαστοὺς ὑπερβλύζοντας καὶ τὸ τετοκέναι τεκμαίρομαι, ὁρῶ καπνὸν ὑπεκθρῴσκοντα καὶ τὸ πῦρ ὑποσημαίνομαι. οὐ δεῖ μοι προσεπιμαρτυρούντων ἀνδρῶν, ἐν οἷς καὶ βασκανίαν ἔχοι τις ἀντιθεῖναι καὶ μῖσος ὑφέρπον, οὓς καὶ προσδοκία κέρδους ἔσθ᾽ ὅτε παρήγαγε καὶ κοινωνία γένους παρεβιάζετο. ἀνυπόπτους ἀπαθεῖς παράγω τοὺς μάρτυρας· οὐκ οἶδε λέγειν πρὸς χάριν τὰ πράγματα, ἄτεγκτα πρὸς φιλίαν πρὸς κέρδος ἀθώ-

πευτα. εἰ δὲ φωνὰς ἐπιζητεῖς, τὰ ἔργα μεθείς, ὥρα σοι καὶ σκιᾶς ἐν δευτέρῳ τιθέναι τὸν ἥλιον. εἰ τοίνυν οὐ ξυμφωνεῖ τοῖς ἔργοις ἡ γλῶττα, τὰ τῆς μαρτυρίας οὐκ εὐπαράδεκτα — καὶ τί δεῖ ψόφου ῥημάτων ὀχλοῦντος καὶ γλώσσης ὑποκρεκούσης αἱμύλα; εἰ δὲ τῇ τῶν πραγμάτων ἁρμονίᾳ ξυνᾴδει, ἐκτεμνέσθω ἡ τῆς γλώττης νευρά — τί γὰρ δεῖ περιττὸν ὑπηχούσης; ἄλλως τε καὶ παραπληξίας λαμπρᾶς ἐπὶ προδήλοις τοὺς ἐπιβεβαιωμένους ἀπαιτεῖν, ὡσεί τις, ὑπὸ τῆς ἀκτῖνος θαλπόμενος, διαπορέοι τὸν ἥλιον, εἰ τὴν ἄνω καὶ ὑπὲρ γῆν φέροιτο. εἰ γὰρ ὀφθαλμὸς οὐκ ἀκριβὴς τῶν τοιούτων ἐπόπτης, σχολῇ γ᾽ ἂν ἀκοῇ τὸ πιστὸν δοίη τις. τί δ᾽, εἰ μὴ παρεῖεν οἱ ξυνεργοῦντες; οὐδεὶς ὑπὸ δίκην ἑστήξεται. καὶ μήν, εἰ τὸ ἀμάρτυρον ἅπαν ἀνεύθυνον, τὸ ἐπὶ μάρτυσι ἅπαν ἁλώσιμον. ἴδοι δ᾽ ἄν τις ὁσημέραι πολλοὺς τοὺς μὲν καὶ μὴ παρόντων μαρτύρων ἐξ εἰκότων ἁλόντας, τοὺς δ᾽ ἀποφυγόντας καὶ μετὰ μυρίους τοὺς ἐπιβοωμένους· «ἠδίκησεν· εἴδομεν ἔγνωμεν.» τί οὖν ἐστιν ὃ λέγω; καὶ τὸ πᾶν τῆς δίκης τοῖς παραγομένοις τούτοις ὁ νόμος ἐπέτρεψεν, ἀλλ᾽ εἰκόσι καὶ ξυμβόλοις ἐστὶν οὗ τὸ πλέον ἐπίστευσε, καὶ γνώμονες ἀμφοῖν οἱ τῶν νόμων οὗτοι φύλακες. ἔνθα μὲν οὖν πολλῆς χειρὸς δεῖται τὸ ἀδίκημα, χαλεπὸν ἴσως, εἴ τις, μηδενὸς εἰπόντος, τοῦ ξυνεργοῦντος πεύσεται· ἐν οἷς δ᾽ οὐχὶ τοὺς ξυλληψομένους ἐπιζητεῖ τὸ κακόν, ἀλλ᾽ ὁ πρῶτος εἰς νοῦν λαβὼν αὐτὸς καὶ ξυμπερᾶναι δυνήσεται, τίς λόγος τῶν ἐπιβοωμένων τούτων; ὥσπερ οὐκ ἐξὸν ἐν τοῖς τοιούτοις 21
καὶ σκαιωρήσασθαι καθ᾽ αὑτὸν καὶ λαθεῖν; ἡ τυραννὶς μέγα, καὶ δεῖται πολλῶν φίλων ξυμμάχων, πεζῶν ἱππέων ψιλῶν, ὁπλιτῶν σφενδονητῶν τοξοτῶν. οὐκοῦν ἐνταῦθα μέρος οὐ μικρὸν οἱ μάρτυρες, οὐδὲ τὸ τῆς προδοσίας δεῖ παραλιπεῖν ἔξω μαρτύρων· κἀκεῖ γὰρ ὁ προδιδοὺς εἰς λόγους ἦλθε τοῖς ἐναντίοις, πότε καὶ ὅπως καὶ ὁπόσου τὴν πόλιν ἂν πρόηται, καὶ τοὺς ἁπάντων ὀφθαλμοὺς οὐκ ἂν ἔλαθεν, ἢ καὶ οὕτω τυχὸν ἑτέροις τὴν
300v] μελέτην ἐθάρρησε καὶ δι᾽ ἐκείνων | τοὺς πολεμίους εἶδε καὶ τὸ ἀπόρρητον ἐξελάλησεν. ἂν δέ τις ἰατρὸς ὢν ὡς φαρμακεὺς τοῖς ἀνόμοις ὑπάγοιτο, καταγέλαστος ἀξιῶν καὶ τίς ὁ δοὺς καὶ πότε καὶ ὁποῖον τὸ φάρμακον· ταχὺ γὰρ ἀντακούσεται· «σύ γε ἰατρὸς ὢν καὶ ὅτε τὴν ὑγείαν ἐπηγγέλ⟨λ⟩ου, καὶ ἦν τὸ μὲν δοκεῖν ἀλεξίκακον τὸ δ᾽ ἀληθὲς δηλητήριον.» πάλιν ἄν τις ὡς ἀλαζὼν καὶ γόης εὐθύνοιτο, οὐκ ἂν ἔχοι λέγειν· «καὶ πηνίκα ἐπῇδον καὶ τί διετερθρευσάμην καὶ τίς ὁ ξυνίστωρ;» ἀρκεῖ γὰρ αὐτὸς πρὸς τὴν κακοτεχνίαν. ἡ χεὶρ τὰς ἐπιρρήτους ὑπανελίξει δέλτους καὶ ἡ γλῶττα ὑποψιθυρίσει καὶ προσεπᾴσει, καὶ ὁ δαίμων ὑπακούσεται. κατὰ ταῦτα καὶ

ἱερεύς, εἴ τῳ τῶν ἀμφὶ τῶν ἱερῶν ἐπιβουλεύσειεν, οὐ προσαπαιτήσει τὸν ξυνειδότα· καὶ γὰρ ἥ τε χεὶρ ἐπ᾿ αὐτῷ ἦν, καὶ τὸ ἀνάθημα προὔκειτο. τοιοῦτον καὶ τοῦτο δὴ τὸ σὸν ἦν σοι βουλομένῳ ἐλθεῖν ἐπὶ τὸν ‛τολμητίαν’ ἐκεῖνον· παρὰ σοὶ γὰρ οἱ πόδες ἦσαν καὶ ἡ ὁδὸς οὐ μακρά τις οὐδ᾿ ἀργαλέα καὶ πρὸς τὸ διανοηθὲν ὑπαγαγέσθαι· φιλία γὰρ ἐθώπευε καὶ τὸ πρὸς πάντα ἕτοιμον ἔπειθεν.

22 Ἀλλ᾿ ἐνταῦθα τοῦ λόγου γενόμενος, ὦ ἄνδρες, μέγα τι καὶ ὡς ἐπὶ σχετλίοις ἀνέκραγεν· «εἶτ᾿ οὐδὲ φιλεῖν ἔξεστιν;» φιλεῖν μὲν ὁ νόμος ἀφῆκεν, ὦ θαυμάσιε, τὸν δ᾿ ὁντιναοῦν οὐκ ἀφῆκεν ἀνέγκλητον. αὐτίκα εἴ τις φιλοίη τὸν ἐπὶ τῇ θρεψαμένῃ τὴν δεξιὰν ἐπ᾿ ἀργύριον προτεινάμενον, τὸ φιλεῖν ἁπλῶς ἡ πόλις ἀφέντες, τὸ προδότας φιλεῖν ὡς προδοσίαν ἄντικρυς γράφονται. εἰ μειράκιον τὴν ὥραν προέμενον στέργει τις, οὐ τὸ δίδοσθαι «φιλεῖ» τῆς ἐπὶ κακῷ βίῳ γραφῆς αὐτὸν ἐξαιρήσεται. τὸ γάρ, οἷς ἕκαστος χαίρει, τούτοις καὶ ξυμμεταμορφάζεσθαι κολούει τό, πρὸς οὓς ἂν τύχῃ, τῆς φιλίας ἐπαγωγόν, μόνον οὐκ ἐπαπειλούμενον, ὡς εἰ μὴ τὴν ψυχὴν ἀναπτύξεις καὶ τὴν γνώμην κατοπτεύσεις, ὅρα μὴ τὴν ἑταιρίαν πήγνυσο. εἰ γὰρ οὐκ ἀγαθὸς ὢν ἐκεῖνος λήσεται, κινδυνεύσεις καὶ σὺ τὴν δόκησιν· οὐ γὰρ ἔστιν ὅ σε τοῦ τοιοῦτον εἶναι δοκεῖν ἀπολύσεται. εἰ δὲ καὶ φιλία ψυχῶν ξυνανάκρασις, καὶ ὁ φιλῶν ἕτερος αὐτὸς ὁ φιλούμενος, πολλή τις ἀνάγκη μὴ τὰ πάντα ἐξωμοιῶσθαι. κἂν ἐκεῖνος ὢν τύχῃ ‛τοῦ πονηροῦ κόμματος’, ὑπόχαλκόν τι καὶ σὺ ξυνυπηχήσεις καὶ κίβδηλον; ταῦτ᾿ ἄρα καὶ Πυθαγόρας μελανούρων ἀπαγορεύει γεύεσθαι· ὃ ταὐτὸν ἂν εἴη καὶ φαύλων ὁμιλίαν προσίεσθαι. οὐ στενοχωρῶ σοι τὸ φίλιον, ἀλλ᾿ ἐπέχω τὸ ὕποπτον· ὥσπερ καί, τὸ βαδίζειν διδούς, τὴν ἐπὶ τοὺς πολεμίους οὐ ξυγχωρῶ, καί, τὸ λέγειν ἐφιείς, τὸ δημοκοπεῖν οὐκ ἐφίημι. καίτοι κύριος τοῦ σώματος ἕκαστος, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς ἔπεστι δεσπότης ἕτερος, νόμος καὶ λόγος, πολλῷ δή που κυριώτερος, ὃς καὶ γλῶτταν ὑβρίζουσαν ‛ἅτε πῶλον ἀποπτυστῆρα χαλινῶν’ καταρτύει, καὶ πόδας οὐκ ἐν καιρῷ στέλλοντας καταστέλλει καὶ χεῖρας οὐκ εἰς καλὸν αἰρομένας ἐπέχει, μάστιγα τὴν ποινὴν ἐπισείων καὶ σωφρονίζων τῷ δέει καὶ χαλινὸν αἱμάσσοντα τὸν δήμιον ἐπαγόμενος. στέργε μοι καὶ περίεπε τοὺς ἀνεπιλήπτους τὸν βίον τοὺς ἀμείνους τὸν τρόπον, κατοικτίζου καὶ δεσμώτην, ἀλλὰ μὴ τὸν τηλικαῦτα πρὸς θεὸν ἀφυβρί-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/114 UNIVERSITÄT LEIPZIG

σαντα. ἐφεῖταί σοι κατὰ τοὺς ἀρχαίων νόμους καὶ δεσμῶν ἀπολύειν, ἀλλ᾽ οὓς ἐπὶ μετρίοις τὸ δεσμωτήριον δέχεται.

Ὡς νῦν γε μάτην ἐξαπατᾶν ἀποπειρᾷ καὶ μετάγεις τὴν αἰτίαν εἰς 23
ἔλεον· ἐξώρισταί σοι τῆς ψυχῆς τὸ καλὸν τοῦτο, ἐξῴκισται τὸ φιλάνθρωπον. οὐκ ἀγνοῶ σου τὸ φιλαπεχθῆμον, ἔξοιδα τὸ βαρύμηνον· κατὰ τὴν ἀπὸ Σκυθῶν Μήδειαν ἐσχημάτισταί σοι τὸ ἐπίχολον· ἀμετάθετος εἶ τὴν
301] ἄμυναν καὶ | τιμωρὸς ἀπαραίτητος, Φάλαρις τὴν ὠμότητα Βόκχορις τὴν ἀπήνειαν, ἀγενὴς τὴν ψυχὴν ⟨. . .⟩ οὐ πρὸς τρόπου σοι φείδεσθαι. εἰ δέ πού σοι καὶ μικρὸν ὑπῆν οἴκτου, κάλλιον ἂν ᾤκτείρησας τὸν τὰ μέγιστα ἐπὶ μεγίστοις ἠτυχηκότα, τὸν πατέρα τὸν ποιμένα τὸν ἀρχιερέα, τὸν ὅσιον τὸν φιλόχριστον, εἶτα μετὰ βραχύ, σπιλάδος ὥσπερ ἀναρραγείσης, τἀναντία πάντα καλούμενον καὶ προσεμπτυόμενον. σὺ δὲ καὶ προσεπεβούλευες καὶ τοὺς ἐπικλωμένους δυσσεβεῖν ἀπεμάχου, καὶ πολὺς ἔρρεις ἐπ᾽ ἐκκλησίας ἐπ᾽ ἀγορᾶς ἐπὶ θεάτρου, πᾶσιν ἀράσσων κακοῖς, μηδενὸς φειδόμενος τῶν αἰσχίστων. ἐκεῖνον ἔδει κατοικτείρασθαι, καὶ ὁ λόγος ὅτι μηδ᾽ ἦν ἁμαρτάνων ἀσύγγνωστα. τί γὰρ ἀπεικὸς μὴ ξυνιδεῖν ἰσχῦσαι τὴν ἐφ᾽ οὕτω βαρυγνώμονος ψυχῆς ἐπηλυγαζομένην περὶ σέβας καινοτομίαν; τὸ δ᾽ ὅτι μὴ τῷ λοιπῷ τῶν ἱερέων καταλόγῳ ξυνέστη καὶ ξυνέπνευσεν, ἰδιοτροπίας καὶ ἤθους αὐθεκάστου καὶ γνώμης ἰσχυρογνώμονος. σὺ δὲ τοῦτον ἀφείς, ὃν καὶ Ταυροσκύθης ἂν ἀπεκλαύσατο, τὸν αὐτόχειρα τῆς τῶν μαρτύρων στηλοκοπίας, τὸν αὐτουργὸν τῆς περὶ τὸ θεῖον παροινίας περιεποιοῦ κατηλέεις ἐψώμιζες ἔστεργες, ἔτι προσαπελύσω καὶ τῆς φρουρᾶς. τί δέ; καὶ τοσοῦτον ἐν ταὐτῷ καθειρ⟨γ⟩μένον ἐστίν, ὧν ἐπὶ πάνυ σμικροῖς τοῖς αἰτίοις. ἐπὶ τοῦτον μόνον ἔβλεψας ἵλεως. ἀλλ᾽ ἐκεῖνος, ἐφ᾽ οἷς ξυνήδεις, καθεῖρκτο· καὶ λύσασθαι τάχιον ἐδικαίωσας, ἵνα μὴ τὸ πᾶν ἀνακαλύψῃ δρᾶμα καὶ ὁ ποιητὴς εὐλόγως ὑπὲρ τὸν ὑποκριτὴν εὐθύνοιτο. τοῦτό σοι τἀληθὲς αἴτιον, ὁ δ᾽ οἶκτος ψευδὴς πρόφασις καὶ προσποίησις.

Ἐπεί, φέρε, εἰπέ μοι, πότερον ὡς ἀναίτιον ᾤκτειρας καὶ προσαπέλυσας, 24
ἢ μέγα μὲν προσκεκρουκότα ᾔδεις, ὅμως δ᾽ οὖν τι πρὸς αὐτὸν ἔπαθες; εἰ μὲν ὡς οὐχ ὑπαίτιον, οἴμοι, μάρτυρες, ὡς τὸ μηδὲν ἥκετε, εἰ τὸ ὑμῶν ἄτιμον οὐδ᾽ ὑπεύθυνον θήσομεν· εἰ δὲ τοῦτο μηδ᾽ ὑπογρύζειν τολμῶν ἄκων ἥκει ἐπὶ τὸ δεύτερον, τίνα τὴν ἐξουσίαν προβεβλημένος, ποίαν τὴν ἰσχὺν ἔχων καὶ ἐπὶ τίσι θαρρῶν; Ἱππίας ἂν ταῦτα εἰργάσατο, Κριτίας ἂν ταῦτα ἐτόλμησε. μὴ σύ γ᾽ Ἰθάκης ἀγχιάλου βασιλεύσειας μηδὲ προσταίης ἀρχιερωσύνης (εἰς ἀθεΐαν γὰρ τὰ πάντα μεταπεσεῖται) μηδὲ νόμων ἐπιστατήσειας (τὸ γὰρ δίκαιον ἀπολεῖται) μηδ᾽ ἀρχὴν ἑτέραν ἄξειας (τυραννὶς γὰρ καὶ ἡ ἀρχὴ ἔσται) μηδ᾽ ἀμύνασθαί τινα δυνηθείης (καὶ αὐτοῦ γὰρ ἂν ὠμοῦ

τοῦ ἥπατος γεύσαιο). εἶτ᾿ ἐπὶ τούτοις οἶκτον προβάλλει. σύ γε οἶκτον, ἄνθρωπος μιαρὸς ἀλαζὼν κέντρων, ἔχιδνα Ἐριννὺς ἀμάλακτος ἀδυσώπητος, πέτρα μελανοκάρδιος; «ἀλλ᾿ εἰ ξυνήδειν (φησί), ἑτέρως ἂν ἐμηχανησάμην αὐτῷ τὴν ἐλευθερίαν, ὑπῆλθον ἂν οὐκ ὀλίγους τῶν τοιαῦτα δυναμένων, ἐξελιπάρησα ἐδυσώπησα. περιῆν γὰρ ταὐτὸν λελύσθαι κἀμὲ τῆς ἀπονοίας προσαπηλλάχθαι.» καὶ τίς ἕτερος οὕτω γεννάδας, ὡς καὶ κατὰ νόμων ἀνδρίσασθαι καὶ μήτε θεοῦ ὄπιν μήτ᾿ ἀνθρώπων νέμεσιν ὑπιδέσθαι; ἔπειτα οὐδὲ τοῦτό σοι πάντη ἀνύποπτον. ᾧ γὰρ τὴν καλὴν ταύτην, ἣν προτείνῃ, δυσώπησιν ἐπῆγες, ἴσως ἀπεβδελύξατο, καὶ πάλιν ἧς ἂν ξυνειδότος κρινόμενος. ἕτερον ὅτι τέλεον ἀπηυθαδιάζων — εἰ γὰρ ἔστι μηδὲν τὸ ἀντίξουν ὑπολιπέσθαι — τόν τε γὰρ προὔχοντα τῆς ἐκκλησίας, ὡς ὁ τοῦ μύθου πατραλοίας Ζεὺς τὸν πατέρα, κατεταρτάρωσας, καὶ τοὺς λοιποὺς οὓς μὲν ὡς Γίγαντας Τιτᾶνας συνεξωστράκισας οὓς δ᾿ ὡς Προμηθέας ἀνεσκολόπισας, τὸ δ᾿ ἄλλο τοῦ βήματος ἐς δορυφόρους ξυνέταττες, καὶ φοβερὸν | ἐστρόβεις, τὸν τοῦ θυμοῦ κεραυνὸν βαρὺν ἐνσείων, εἴ πού τις ὑπογρύξειεν. 301v]

25 Εἰ δ᾿ οὐκ ἀνάγκη καὶ ξυνειδέναι τὸν κυψάμενον, ἀλλ᾿ ἕτερόν τι πάθος ἐπὶ ψυχῆς ἴσχειν τὸ βιασάμενον πολλή τις ἀνάγκη. τοῦτο δεῖξον καὶ πείθομαι. οἶκτον ὁ λόγος οὐ δέχεται, ἀναίτιον εἶναι τἀληθὲς οὐκ ἀνέχεται. τί οὖν λοιπόν, εἰ μήτε σὺ πρὸς ἀτυχίαν οἶδας μαλάσσεσθαι μήτ᾿ ἐκεῖνος τὸ τὰ μέγιστα ἐξαμαρτεῖν πέφευγε, ᾗ πάντως τὸ συνεξαμαρτεῖν ἕπεται; οἷς δ᾿ ἐκοινώνεις τοῦ βδελυροῦ τρόπου, καὶ τοὺς δεσμοὺς ὑπετέμου καὶ ξυνυπετέμου καὶ τοὺς ἐλέγχους. οἷον τοῦτο ὑμῖν τετόλμηται, ὦ κατάρατοι. οὐ χρυσὸν τοῖς μάρτυσιν ἐσυλήσατε, οὐκ εἰς ἄργυρον τὴν ζημίαν περιεστήσατε, κατὰ πρόσωπον τὰς ὕβρεις ἠράσσετε καὶ χρῶμά τι ἀπαίσιον ἐσοφίσασθε. πρὶν ἢ τὰ ὅσια καταχρᾶναι, τὰς ὑμετέρας ψυχὰς εἰς ἀθεΐαν ἐβάψατε. οὐδὲν ἡ τῶν κειμένων ὕβρις, μικρὸν ἡ τῶν ἱερέων ὑφαίρεσις· οὐδενὶ τῶν ἁπάντων ὑπερβολὴν κακίας καταλελοίπατε. ἤδη τις καὶ στηλοκοπεῖν τοὺς μάρτυρας ἐπεχείρησεν, ἀλλ᾿ εἰς ἑαυτὸν ἀνέφερε τὸ δυσσέβημα· ὑμεῖς δὲ τὴν μὲν ἀσέβειαν ἐτολμήσατε, τὴν δὲ τῆς ἀσεβείας δόκησιν ἐπὶ τὴν τῶν ἀρχιερέων ἐτρέψατε κορυφήν, ἐπὶ τὸν ποιμένα ἐπὶ τὸν πατέρα καὶ ὃν οὐκ ἔστιν ὅστις οὐκ ἐσεβάσατο. οὐκ ᾐδέσθητε πολιὰν εὐσεβείας σύντροφον,

οὐκ ἐδυσωπήθητε τὴν δεξιάν, οὐ τὸν λοιπὸν ἀρχιερέων σύλλογον ηὐλαβήθητε, ἀλλ᾽ ἀφ᾽ ἑνὸς τούτου πικρὰν θεομαχίας δόξαν ἁπάντων κατεσκεδάσατε. εἰ δ᾽ ἐκεῖνον καὶ ψῆφος ἀρχιερέων ἀπώσατο, ἀλλ᾽ οὐκ ἐπὶ τοιούτοις οὐδ᾽ ὡς οὕτω τοῖς ἱεροῖς λυμηνάμενον. εἶτ᾽ οὐκ ἀρκεῖ σοι τὸ πτῶμα θεραπεῦσαι τὸν φθόνον; ἢ τί καὶ κειμένῳ προσεπεμβαίνεις, τί καὶ τὸ τραῦμα προσαναξαίνεις; σβέσον τὴν κάμινον τοῦ θυμοῦ, στῆσον τοὺς τῶν ὕβρεων ὀχετούς, ἔα τὸ δύσφημον, ἐφ᾽ ᾧ κἂν τις τῶν ἐπιεικεστέρων ἀνεκαλύψατο. σὺ δ᾽ εἰ μὴ καὶ προσεπιθήσεις τὸν κολοφῶνα τῶν ἀτοπημάτων, οὐκ ἀνεκτὸν ἡγῇ καὶ προσεπιμηχανᾷ τὰ παλαμναιότατα.

Διελυμήνασθε τοῖς μάρτυσι τοὺς πίνακας, ὦ κακαὶ κεφαλαί, τοῖς ἀθλη- 26
ταῖς τὰς γραφὰς διεγράψατε, τοὺς τῆς ἐκκλησίας ἀριστέας περιυβρίσατε. οὐ Κυναίγειρος οὐ Καλλίμαχος ἡμῖν οἱ τρισαριστεῖς, οὐ Μαραθὼν οὐδὲ Σαλαμὶς τὰ τούτων τρόπαια, ἀλλ᾽ ἄνδρες καὶ θνητὰ μὲν οἱ πολλοὶ στρατευσάμενοι, πρὸς δὲ τὴν τῆς φύσεως ἀνάγκην πάντες ἀνθοπλισάμενοι καὶ δυσμενεῖς ἀθανάτους καὶ πολεμίους οὐχ ὁρωμένους καταπαλαίσαντες. οὗτος ὁ κατάλογος τοῖς μὲν σώμασιν ἀπεῖπον ταῖς δὲ γνώμαις ἑστήκεσαν· ἡ φάλα⟨γ⟩ξ αὕτη καὶ πίπτοντες ἀνῄρουν καὶ βαλλόμενοι κατετίτρωσκον. τοῦτο τὸ στράτευμα καὶ μυριόπληκτον καὶ νεκρὸν τοῖς τραύμασιν ἵστατο πολλῷ κάλλιον ἤπερ Καλλίμαχος. οὗτος ὁ λόχος οὐ μιᾶς ὁλκάδος ἀλλὰ ξυμπάσης οἰκουμένης ὅλοις ἱστίοις εἰς τὴν τῆς ἀσεβείας φερομένης θάλατταν ἐπεδράττετο. κἂν ὁ δήμιος αὐτοῖς τὰς χεῖρας ἐθέρισεν, ἀλλ᾽ οἵδε καὶ τὴν κεφαλὴν προσετίθεσαν. κἄν τις καὶ τοὺς ὀδόντας αὐτοὺς ἐξώρυττεν, ὁ τῆς ἀντιθέτου μοίρας στρατάρχης Σατὰν ἐπὶ πλέον ἐδάκνετο. ὅλον τὸ σῶμα τοῖς ἐμοῖς ἀριστεῦσι καλλίνικον. ὀφθαλμοὶ τυφλώμενοι κατήστραπτον τοὺς ἐχθρούς, ἀποτεμνούμεναι γλῶσσαι κατεβρόντων ἐπὶ πλέον τοὺς δυσμενεῖς, ἐχειροῦντο καὶ χεῖρες τοὺς ἀντιθέτους καὶ μετὰ τὴν τομήν, ξυνεπόδιζον καὶ πόδες ξυντριβόμενοι τοὺς ἀλάστορας.

Ἐπὶ τοιούτους καλλινίκους ὑμεῖς κακοὶ κακῶς ἐστρατεύσατε, ἐπὶ τοιού- 27
τους τυραννοκτόνους χεῖρας ἀνοσίους ὑμεῖς ἤρασθε. Μήδους ἐδουλώσαν-
302] το, | Πέρσας ὑπηγάγοντο, Ἕλληνας ἐπεστόμισαν καὶ Σκύθαις παρέλυσαν τὰς τῆς ἀπιστίας νευράς, καὶ διὰ πάντων ὁ τύραννος δαίμων ἔπιπτε, τῶν μὲν ἀθλητῶν ὑπὸ θερμῷ τῷ λύθρῳ παραβαπτιζόντων, τῶν δ᾽ ἁλισκομένων ἀναίμακτα. ὡς ἄρα καὶ βαρβάρων ὑμεῖς ἀγριώτεροι καὶ δαιμόνων ἀναισχυντότεροι. ὦ πικροῦ μέλιτος· μυρίῳ σμήνει μαρτύρων τὴν τῶν

ὕβρεων ἀψινθίαν ἐπεμορφάσαντο. ὢ γνώμης ἀγνώμονος, ἣ τοῖς σωτῆρσιν ἐπεβούλευσε τὰ ἀτιμότατα. ὢ χειρὸς ἀναισχύντου καὶ βδελυρᾶς, ἣ βουλὴν οὕτως ἄβο⟨υ⟩λον εἰς ἔργον ἐξήνεγκεν. οὐχ ὑπέπτηξεν οὐκ ἐνάρκησε κατὰ τρισαριστέων κατὰ τυραννοκτόνων ὁπλισαμένη. ἦ που καὶ τῆς νοητῆς ἥψατο κιβωτοῦ καὶ τὸ δικαιότερον ἂν ἔπιπτεν ἤπερ ὁ τῆς παλαιᾶς καὶ σκιώδους ἐκείνης δραξάμενος· ἀλλ᾽ εἶχεν ἔμφυτον τὸ φιλάνθρωπον καὶ μήτηρ οὖσα τοῦ φιλανθρωποτάτου θεοῦ χειρὸς ὑβριζούσης ἐφείσατο· τάχα τοὺς ἀλιτηρίους ὑμῖν ἐφύλαξεν, ἵνα τὸν ζῆλον ἐπιδείξησθε καὶ θεατρίσητε τὸ κακὸν καὶ μὴ πάντα ἐκείνῳ τῷ μηδὲν αἰτίῳ προσεπιγράφοισθε.

**28** Οὕτως ἀποκεκόψεται τὸ θεομάχον τῆς πόλεως, οὕτως περιέσται τοῖς μάρτυσι τὸ ἀνύβριστον, τῆς προνοίας μὲν οὐκ ἐώσης τοὺς ψευδοχρίστους λαθεῖν, ὑμῶν δὲ καταψηφιζομένων μετὰ τὸ μαθεῖν.

## D. EPISTOLAE

Synodis ambabus, quae C.poli de quaestione ex verbis liturgiae Chrysostomicae *σὺ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος* exorta annis 1156 et 1157 habitae sunt, Nicephorus Basilaca, ut constat, damnatus est atque in exsilium relegatus. Philippopoli, ubi exsulabat, missae hae epistolae, quibus auctor maerore acerbissime affectus suae in praesenti vitae rationem exponit, patriae desiderium iterum ac saepius aperit.

### 1. Duobus amicis

*Philippopoli Constantinopolim, post a. 1157*

S 199v] *Δι᾽ ἑνὸς ἐπιστολίου δύο τοὺς ἐμοὶ φιλτάτους προσαγορεύω, ἵν᾽ ὡς τὴν φιλίαν ἔχητε καὶ τὸ γράμμα κοινόν. πῶς δ᾽ ἂν καὶ διαιροῖμεν Ἀχιλλέως Πάτροκλον ἢ Διομήδους Σθένελον ἢ Κύρου Χρυσάνταν ἢ Ξέρξου Ἀρτάβανον; εἰ δὲ δεῖ ʻτὸν φιλέοντα φιλεῖνʼ, φιλῶμεν ὅτι φιλούμεθα. οὐδ᾽ εἰν Ἀίδαο λήσομαι ὑμῶν, τοσοῦτον ὑπερφιλῶ· ἴστω λόγος, ἴστω φιλία.*

*Ἀλλὰ πυνθάνεσθε πῶς ἔχει τὰ ἡμέτερα· ὡς ἄν τις ἐχθρὸς ἐπεύξαιτο καὶ σαφὴς φίλος ἀπεύξαιτο. ʻτά τ᾽ ἔνδον τά τε θύραζεʼ δυστυχῶ. ἔσωθεν ἐπιβουλαὶ ἔξωθεν ἀπειλαί, πανταχόθεν φόβοι πανταχόθεν κίνδυνοι, ἀμφίκρημνα πάντα μοι. ὡς ἐν ἀπόροις κατείλημμαι ἐπιεικευόμενος περιφρονοῦμαι τραχυνόμενος ἐπιβουλεύομαι. τί καὶ δράσει τις, ἔνθα καὶ τὸ ἐπιεικεύεσθαι καταγέλαστον καὶ τὸ ἀγριαίνεσθαι οὐκ ἀκίνδυνον; οὔτε ἄρτον οὔτε μάζαν ἐθέλουσιν, οὕτως εἰσὶ κατὰ τὴν παροιμίαν δυσάρεστοι. ὡς ἐπὶ τείχους περιπατοῦμεν, ὡς ἐν Ταυροσκύθαις ὁδεύομεν. οὐδὲν μείλιχον ἐνταυθοῖ. Ἀρεϊκὰ πάντα, ἀθέμιτα πάντα, ὡς ἐν βαρβάροις φόνια·*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/119 UNIVERSITÄT LEIPZIG

*Δίκη δὲ καὶ Νέμεσις ἐκποδών. ἀμειδὴς ἐνταῦθα ὁ ʽπολύγελωςʼ ἐκεῖνος ἐγώ, καὶ ὡς ἀπὸ Τροφωνίου κατηφιῶ τὰ πολλά. εἰ δέ μοι καὶ γέλως ἐπιχορεύσει ποτέ, κωμάζω κατὰ τῆς Τύχης καὶ τὴν τραγῳδίαν εἰς κωμῳδίαν μετασκευάζω. ὁρῶ τὴν αὐλαίαν καὶ γίνεταί μοι ἀτεχνῶς αἴνιγμα τῷ τοῦ Σαμψὼν ἐοικός, γλυκὺ ἐκ πικράζοντος. ἀλλὰ τί μὴ θᾶττον λύω τὸ αἴνιγμα, δι' οὗ καὶ τὸ στυγνὸν ἐμαυτῷ πολλάκις διέλυσα; ἀψινθοτρόφον τὴν ἀλωπίσκην ὁρῶ, καί μοι πολὺς ὁ γέλως ἐπιρρυΐσκεται, εἰ πᾶσαν ἡ Τύχη γλυκυθυμίαν ἐπαγγειλαμένη τοιαύτην ἐκεράσατο κύλικα. οὐκ ἴοις ἀγάλλεται οὐ ῥόδοις ἁβρύνεται οὐ λωτῷ γλυκάζεται, ἀψινθίας γέμει πικρίαν γεωργεῖ ἀηδίαν πολυτοκεῖ ἔμετον ἐρεθίζει· τοιαύτην ʽλωτοτρόφονʼ οἰκοῦμεν. ἔστιν ἀπὸ τῆς ἄνθης καὶ τοὺς ἄνδρας τεκμήρασθαι ὡς ἀληθῶς ἀψίνθιοι ὡς ἀληθῶς πικρόθυμοι, τοῖς ἀδελφοῖς ἄνθεσιν ἐοικότες τῆς θρεψαμένης ἀπόζοντες. εἴημεν ἂν οὖν ἡμεῖς κατὰ τὴν ποίησιν ʽἈψινθίων ἄγχουροιʼ, οὕτω πικρόχυμός τις ἡ γῆ καὶ πικρὰ πάντα φύει καὶ ἄνθη καὶ ἄνδρας.*

*Ἀλλ' ἐγγὺς ὁ Μωυσῆς, κἂν ὑμεῖς ἐθέλητε καταγλυκανεῖ μοι πάντα τῷ τῆς παιδεύσεως ξύλῳ, τῇ σωφρονιστικῇ βακτηρίᾳ. μαντεύομαι γὰρ ὅτι δεήσει μοι καὶ τούτου ποτέ. ἀπαίδευτοι γάρ εἰσι καὶ τραχηλιῶσιν οἱ πλείους τῶν ὑπὸ τὴν ἐκκλησίαν, ὡς ἂν εἴποι τις, πελατῶν.*

*Οὔπω μέντοι ἐθέλω τὸν καταιβάτην μεταχειρίσασθαι. καίτοι ἔστι τις ἐνταῦθα Μακεδὼν τὴν κλῆσιν, ὃς μάλιστα δή μοι μετὰ τοῦ Κασταμονίτου ἐπέθετο. εἴποιμ' ἂν εὐφυῶς τὸ τοῦ Δημοσθένους· ʽβάρβαρος ὄλεθρος Μακεδώνʼ. ὅμως μέντοι ἀνέχομαι. εἰ δ' ἀνό⟨ν⟩ητα ἐπιεικεύσομαι, τότε καὶ τῆς τοῦ δεσπότου βακτηρίας δεήσομαι, καὶ σωφρονιεῖ μοι τοὺς ἀπαιδεύτους.*

*ʽΓενοίμην ὑπὸ πλάκαʼ ʽΡηγίου, τὴν ἱερὰν ὅπως προσείποιμι Κωνσταντινούπολιν.* |



UNIVERSITÄTS-BIBLIOTHEK LEIPZIG

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/120 UNIVERSITÄT LEIPZIG

## 2. Discipulis suis

*Philippopoli Constantinopolim, post a. 1157*

200] Τοῖς ἐμοῖς ποτὲ ῥήτορσιν ὁ ποτὲ ῥήτωρ, τοῖς φοιτηταῖς ὁ διδάσκαλος· ἀλλὰ χαίροιτε καὶ σοφίζοισθε. ἡμᾶς γὰρ ἀπολέλοιπε καὶ τὸ χαίρειν καὶ τὸ σοφίζειν, πολλῷ μέντοι χεῖρον ἢ τὸν Κίλικα σοφιστὴν καὶ τῆς σοφιστικῆς πατέρα καὶ τεχνωτήν, εἴπερ ʻτὸ μὲν μὴ φρονεῖν κάρτ᾽ ἀνώδυνον [ὂν] κακόν, τὸ δ᾽ ἐσλεύσσειν οἰκεῖα κακὰ μεγάλας ὀδύνας ὑποτείνει᾽. καὶ κατ᾽ ἄμφω τὸ τῆς τραγῳδίας κομψὸν οὐ διέπεσεν. εἴη ἂν οὖν [οὐ] τὸ μὲν ἐκείνου ὡς ἐν κακοῖς ἕρμαιον, τὸ δ᾽ ἡμέτερον ἄμικτος τοῖς κακοῖς συμφορά. τοῦτο μέντοι τὸ ξυνειδέναι ὅτι μεμήνει καὶ πρὸ τοῦ ξίφους τὸν Τελαμῶνος ἐκέντει, ἡ ʻξύνεσις᾽ αὕτη καὶ τὸν Ἀγαμέμνονος Ὀρέστην οὐχ ἧττον τῶν Ἐρινύων ἐτροχηλάτει. ἐπαινῶ μὲν τὸν Σύρον ἐκεῖνον τὸν σοφιστήν, τὸν εἴρωνα τὸν φιλοπαίγμονα τὸν γελοιαστήν· εἰ γὰρ καὶ ʻφιλέει κέρτομα βάζειν᾽, ἀλλ᾽ οἶδε καὶ γελᾶν οὐκ ἀπαίδευτα. ὁ δὲ ἄρα τοῖς ἀσεβέσιν ἐν Ἅιδου τοῦ τῆς λήθης κρατῆρος φθονεῖ καὶ τὴν τῆς λύπης ἀψινθίαν πικράζουσαν μᾶλλον ἀντικιρνᾷ· οὕτως ἡμᾶς ὁ δαίμων πολλὰ μὲν ἐπίκρανεν, ὀλίγα δὲ τῆς μνήμης παρείλετο. ἠκόνησα τὸ ξίφος κατ᾽ ἐμαυτοῦ τοῖς ποτὲ φίλοις καὶ ξυμμάχοις ἀγνωμοσύνην ἐπεγκαλῶν, ὡς Αἴας ἐμάνην ὡς Ὀρέστης ἠτύχησα. ὁμολογῶ τὴν παραπληξίαν, οὐκ ἀρνοῦμαι τὴν ἀτυχίαν, κάκιστος εὑρέθην Μενέλαος, εἰς ἐμὲ ὑπεφθεγξάμην ποτὲ καὶ τοῦτο τῆς τραγῳδίας· ʻφεύγεις ἀποστραφείς με, τὰ δ᾽ Ἀγαμέμνονος φροῦδα; ἄφιλος ἄρ᾽ ἦσθ᾽, ὦ πάτερ, πράττων κακῶς᾽. ἀλλ᾽ οὐδ᾽ οὕτω κατῄδεσα τὸν ἀγνώμονα. διὰ ταῦτα τὴν ἀποδημίαν ἐβουλευσάμην καὶ φυγὴν ἐμαυτοῦ κατεψηφισάμην μακράν· καὶ νῦν συναναχρώννυμαι τὴν βάρβαρον γλῶτταν εἰς ἀμουσίαν ἐξέπεσον, οὐκέτι πρεσβεύω τοὺς λόγους οὐκέτι θύω ταῖς Μούσαις· παρῆκα τὸν Ἀργεϊφόντην Ἑρμῆν, τὸν ʻβροτολοιγὸν Ἄρεα᾽ σέβομαι· ἀεὶ πρὸς τῶν γειτονούντων πληττόμεθα, λαφυραγωγούμεθα, πολιορκούμεθα· καὶ δεῖ πάντως ὅπλων καὶ δορυφορίας, ἵν᾽ ἔχοιμεν καὶ τὸ προμηθὲς καὶ τὸ φοβερόν· οὕτω βάρβαρα πάντα καὶ τύραννα.

Ἀλλ' 'ὦ πότνια Λήθη τῶν κακῶν, ὡς εἶ σοφή'· σοφὴ δ' ἂν εἴης ἅμα καὶ φιλάνθρωπος, εἰ τάχιον ἡμῖν ἐπιπταίης· 'εὖ δ' ἐς πάτραν ἥκοιμεν, εὖ δὲ τὰν δόμοις ἔχοντ' ἴδοιμεν τῶνδ' ἀφέμενοι πόνων'.

## 3. Fratri

*Philippopoli Constantinopolim, post a. 1157*

Ἐξεθήλυνέ με τὸ σπλάγχνον καὶ τὰ τῆς Ἀντιγόνης ἐπεύχομαι· 'ἀνεμώκεος εἴθε' λάβοιμι 'δρόμον νεφέλας', ἵνα τὸν ἐμὸν ὁμόσπορον ἴδοιμι. ἀλλ' ἀκριβῶς τοῦ ἔπους οὐ μέμνημαι· ἀπολέλοιπε γάρ με καὶ ἡ ποίησις. ἀλλὰ φιλάνθρωπος ὁ Δαυὶδ καί μοι τῶν ᾀσμάτων ἀποχαρίζεται. 'τίς δώσει πτέρυγάς μοι ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω' πρὸς σέ, τὸν ἐμοὶ περιψύχιον; ἀπολώλαμεν, ἀπολώλαμεν οὐχ ὅτι θεὸν ἑωράκαμεν, ἀλλ' ὅτι θεοῦ μακρὰν ἀπερρίφημεν. τί γάρ μοι καὶ ὅπλων, τί γάρ μοι καὶ δασμολογίας; διὰ τῆς Σκυθῶν βαδίζομεν, οὐδὲν ἡμῖν εἰρηναῖον καὶ ἄμαχον· μέσον παγίδων διαβαίνω πολλῶν, 'ἐπ' ἀλλοτρίῃσι συμφορῇσι λύπας' καρπούμεθα, μόνα κερδαίνομεν δάκρυα. εἰ δέ μοί ποτε καὶ γελᾶν ἐπίῃ, γελῶ τὴν Τύχην γελῶ τὴν Φιλίαν, ὅπως ἡμᾶς ἠμείψατο, κατὰ τοὺς Ταυροσκύθας ἡμᾶς ἐξένισεν. γεγόναμεν κατὰ τὴν ποίησιν 'Ἀψινθίων ἄγχουροι'. ἡ γάρ μοι αὐλαία ὑπερφυῶς ἀψινθοφορεῖ, τοιαύτην ἀρωματοφόρον οἰκοῦμεν. ἡ γῆ μὲν οὕτω κάρπιμος, οἱ δ' ἄνδρες οὐκ ἀγανόφρονες οὐδὲ γλυκύθυμοι, ἀλλ' ὄντως τὴν γνώμην ἀψινθιάζουσιν, οὕτω πικρόχυμός τις ἡ γῆ καὶ πικρὰ πάντα φύει καὶ ἄνθη καὶ ἄνδρας.

'Γενοίμην ὑπὸ πλάκα' 'Ρηγίου, τὴν ἱερὰν ὅπως προσείποιμι Κωνσταντινούπολιν. |

## 4. Discipulis suis

*Philippopoli Constantinopolim, post a. 1157*

Μή με ἀγραφίας γράψησθε. πεδεῖ γάρ μου τὴν χεῖρα καὶ τὴν γλῶσσαν 200v]
ἡ παλαμναία νόσος· ὑπὲρ τὸν Ἐμπεδοκλέα κατανθρακοῦμαι, ὑπὲρ τὸν

Ἀσκληπιὸν κεραυνοβολοῦμαι. τούτους δέ μοι τοὺς πρηστῆρας οὐ τρυφή τις ἐξεπυρήνισεν, οὐ τῆς ὀπώρας ὑφῆψε τὸ ἄφθονον (μὴ οὕτω μου τὴν κοιλίαν ὑποπτεύσειας)· χοίρων γάρ εἰσιν ὡς ἀληθῶς ἄξια τὰ τῶν Φιλιππουπολιτῶν ὡραῖα καὶ οἶμαι τοῖς Ὀδυσσέως ἑταίροις ἡ Κίρκη τοιαύτας παρετίθει τὰς ὀπώρας μετὰ τὴν ἀποχοίρωσιν. τὰ δαμασκηνὰ ὡς μελάντατα, τοσοῦτον μόνον ἀπεοικότα κανθάρων παρ' ὅσον μὴ καὶ πόδας ἔχουσιν, οἱ πέπονες ʽκάκʼ ἐλέγχεαʼ, οἱ ἄπιες Αἰγυπτίοις Ἄπισιν ἢ καὶ ἄλλοις ἁρμοδιώτατοι μᾶλλον εἰς τροφὴν ἢ ἀνθρώποις, αἱ σταφυλαὶ βάτων φαυλότεραι. ὁ οἶνος πῇ μὲν ὀξίνης πῇ δὲ σαπρίας, ἀλλ' οὐχὶ καὶ τεχνητὸς ἐκείνοις καὶ ποτιμώτατος. ὁ μέντοι κάλλιστος, καὶ ᾧ τρυφᾶν ἐθέλουσιν οἱ Φιλιππουπολῖται, ῥητίνης γέμει, δᾴδων ἀπόζει. δᾳσὶ κωμάζειν ἀναγκαζόμεθα, ὅλην τὴν ἐν Γαλάαδι ῥητίνην ἐκπίνομεν, οὐ νόσου καθαρτήριον, ἀλλὰ καὶ κεφαλῶν καὶ ὀφθαλμῶν λυμαντήριον.

## *E. ⟨IN IOANNEM AXVCHVM⟩ ENCOMII FRAGMENTVM AN BASILACAE INCERTVM

In his, quae encomii cuiusdam vel *λόγου βασιλικοῦ* reliquiae videntur, de bellis agitur ab imperatore (Ioanne II Comneno) adversus barbaros gestis, hinc Petzinacos illinc Musulmanos, ut in pluribus Basilacae opusculis, sed praeterea quid rationis Ioannes cum Occidenti habuerit fusius significatur. editoris autem principis nostraque sententia fragmentum in orationis Basilacianae quintae corpus apte inseri potest, in qua post caput 9 lacuna statuta est. ceterum inter utrumque textum multa alterius generis concinunt ad singula (imperatorem dico cum Hercule comparatum eiusque domesticum Ioannem Axuchum cum Iolao, regiam aciem ut *πόδας* hostem proculcantes, al.), ad fontes, sermonem, stilum pertinentia. quodsi fragmentum encomio in Axuchum tribuere nolis, hoc saltem infitias non ibis, id ab alio eiusdem Basilacae opere nunc deperdito manare potuisse.

1 *Τὸν Ἡρακλέα γράφουσιν οἱ Κελτοὶ καὶ ἄνδρα καὶ ἥρωα, γέροντα καὶ πολιὸν τὰ πολλά, λεοντῆν ἐνδεδυμένον, ῥόπαλον ἔχοντα τῇ δεξιᾷ, τῇ δέ γε λαιᾷ τὸ τόξον ἐντείνοντα. σειραί τινες ἠώρηνται χρυσοῦ καὶ ἠλέκτρου τεχνικῶς τῆς γλώττης τοῦ ἥρωος, ταῖς δέ γε σειραῖς πολύ τι πλῆθος ἀνθρώπων τῶν ὤτων ἐφέλκεται, οὔτ᾽ ἀντιτεῖνον οὔτε τοῖς ποσὶν ἀντερεῖδον, ἀλλὰ φαιδροὶ πάντες καὶ γεγηθότες ἐφέλκονται καὶ μόνον οὐ τὸν ἕλκοντα προφθάνουσιν ἐφεπόμενοι. καὶ ὁρῶ τὴν εἰκόνα καὶ ξυνίημι τοῦ αἰνίγματος· τὸ μὲν γὰρ δὴ τόξον, ἡ λεοντῆ καὶ τὸ ῥόπαλον τὸ μεγαλουργὸν ζωγραφοῦσι τοῦ ἥρωος, ὅτι δ᾽ οὐδὲ γλυκύτητος ἠμοίρησε γλώσσης ὁ ἥρως ὁ Ἡρακλῆς, ἡ τῆς γλώττης ὀπὴ μαρτυρεῖ καὶ αἱ ἀπηωρημέναι ταύτης ἀπὸ χρυσίου σειραὶ καὶ τὸ ἀπὸ τῶν ὤτων πλῆθος ἑλκόμενον. τὸ δέ γε γῆρας τοῦ ἥρωος τὴν ἐν χρόνῳ καὶ πόνῳ τῶν μεγαλουργημάτων κατόρθωσιν ζωγραφεῖ. ἔστι μὲν οὖν τοῦτο θαῦμα τοῖς Ἕλλησιν· ὅτι δὲ τὰ τῶν κατορθωμάτων ὑπερφυᾶ τοῦ ἀνδρός, μῦθος δοκεῖ τοῖς πολλοῖς καὶ τέχνης ζωγραφικῆς τερατούργημα. εἰ γοῦν ἐκεῖνα τεθήπασιν Ἕλληνες, τί ποτε ἄρα καὶ δράσομεν ἡμεῖς ἐπὶ τοῖς σοῖς οὕτω παραδόξοις τερατουργήμασι, νικητικώτατε βασιλεῦ; καὶ ποίαν στήλην προσφορωτάτην ἀναστηλώσομεν; κἂν κατὰ τὸν Ἡρακλέα τὴν σὴν εἰκόνα χρω-* V 276]

*ματουργήσωμεν, ἀδικοῦμεν, ὦ βασιλεῦ, ὅτι μὴ καὶ ὑπὲρ τὸν Ἡρακλέα σε γράφομεν· τὸ γὰρ σὸν τόξον ὅλην περιγράφει τὴν οἰκουμένην καὶ βάλλει τοὺς φεύγοντας, ὃ ὑπὲρ τὸν Ἡρακλέα μεγαλουργεῖς καὶ ὅλην τὴν οἰκουμένην ἀνακαθαίρεις ὑπὲρ τὸν ἥρωα· κἂν ῥόπαλον ἔχῃς τῇ δεξιᾷ, σωφρονίζεις πάντας τοὺς ἀντιπίπτοντας· ἂν τὴν λεοντῆν ἐνδιδύσκῃ, φρίττουσί σε πάντες οἱ ἀντικείμενοι. τῇ δέ σου γλώσσῃ σειρῆνας ὅλας ἐνζωγραφήσομεν καὶ σειρὰς αἰωρήσομεν χρυσοῦ καὶ μαργάρου καὶ λίθων πολυειδῶν, οὐκ ἐκ τῶν ὤτων μόνων ἑλκούσας οὐδέ γε μὴν ἐκ τῶν ὀφθαλμῶν, ἀλλὰ καὶ ἀπ᾽ αὐτῆς καρδίας καὶ μέσης ψυχῆς. ἡ γάρ σου τῆς γλώττης αὐδὴ γλυκυτέρα καὶ μέλιτος, καὶ ὅλην οἰκουμένην ἕλκεις τῇ γλώττῃ σου, διδασκαλικά τινα νεώματα ταῖς τῶν ἀκουόντων ἐμβάλλων ψυχαῖς, καὶ πάντες ἡμεῖς τὸ ὑπήκοον ἐξ αὐτῆς καρδίας ἑλκόμεθα. πλὴν οὐχὶ καὶ γεγηρακότα σε γράψομεν, τὸν ἡμέτερον Ἡρακλῆν, ἀλλὰ θαλερὸν ἀλλ᾽ ἀκμαῖον ἀλλὰ νεάζοντα.*

2 *Κἂν γὰρ δι᾽ ὅλου χρόνου καὶ βίου σοι τὰ ἀριστουργήματα, οὐ χρόνῳ καὶ κόπῳ ταῦτα μεγαλουργεῖς, ἀλλ᾽ ἐν ἀκαρεῖ καὶ θᾶττον ἢ λόγος τὰ πολλοῦ τοῦ χρόνου δεόμενα. οἷον γάρ σοι καὶ τοῦτο χθιζὰ τεθαυματούργηται, βασιλεῦ, ἔργον ὑπὲρ τὴν ἡμετέραν φύσιν καὶ ὄντως ἔργον θεοῦ· τῷ λόγῳ σου παρήχθησαν νῆες καὶ τῷ προστάγματί σου τριήρεις ἐπήχθησαν. ὁ μὲν οὖν δὴ Ξέρξης ἐκεῖνος, τὴν Ἀττικὴν κατατρέχων, ἐπὶ πολύν τινα χρόνον ἔκαμνε ναυστολῶν καὶ ἡ πολλὴ τῶν Ἑλλήνων πληθὺς χρόνῳ συχνῷ τὰς πολλὰς τριήρεις ἐπήξατο· σὺ δέ, τὰ πάντα μιμούμενος τὸν θεὸν καὶ θεὸς ὢν κατὰ τὴν τοῦ κυρίου φωνὴν καὶ ʽυἱὸς ὑψίστουʼ κατὰ τὸ εὐαγγέλιον, τῷ ὄρει μὲν οὐ λέγεις ἀρθῆναι οὐδ᾽ εἰς τὴν θάλασσαν ἐμβληθῆναι κελεύεις, ἀλλὰ μόνῳ σου λόγῳ μυρίας τριήρεις ἐξ ὀρέων δημιουργεῖς καὶ τῷ προστάγματί σου ἐμβάλλονται εἰς τὴν θάλασσαν, ἵν᾽ ὅλον σοι πεπληρωμένον ⟨εἴη⟩ τὸ εὐαγγέλιον, καὶ πλήρεις αἱ τριήρεις σιδηροφράκτων γιγάντων, ἀνδρῶν οὐκ ἐξ ὀδόντων μυθικοῦ τινος δράκοντος, ἀλλ᾽ ἐκ τοῦ στρατηγικωτάτου ἡμῶν αὐτοκράτορος στρατιωτικῶς διαπλασθέντων, καὶ ʽτὰς χεῖραςʼ δεδιδαγμένων εἰς πόλεμον καὶ τοὺς δακτύλους αὐτῶν ʽεἰς*
276v] *παράταξινʼ, ἵνα ʽτοὺς ὀδόνταςʼ συντρίψῃ τῶν ἀλαζονευομένων | ἐναντίον αὐτοῦ καὶ κατευμεγεθήσῃ δρακόντων ἐθνῶν καὶ τοῖς ὡραίοις τούτου ποσὶ τούτων συνθλάσῃ ʽτὰς κεφαλάςʼ. ἀλλὰ πότε ταῦτά σοι τεθαυματούργηται, βασιλεῦ; ὁπόταν εἰρήνη τοῖς ὑπηκόοις ἐμπολιτεύεται, ὅτε τὴν σὴν αἰχμὴν ἡ δουροδόκη παρέλαβε καὶ τὴν φαρέτραν οἱ πάσσαλοι, ἵνα μηδὲ τότε τὰ*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/125 UNIVERSITÄT LEIPZIG

κατ᾽ ἐχθρῶν τῷ βασιλεῖ μου σχολάζῃ καὶ ἀπρακτῇ διαβούλια. ἀλλὰ καὶ κοιταζόμενος τροπαιολογεῖς καὶ καθεύδων ἀριστουργεῖς καὶ λέγεις μετὰ Σολομῶντος ἐπικαιρότατα· ʻἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖʼ καὶ εἰρήνην τιμῶν ὑφέλκομαι τὸ ἀντίπαλον καὶ στρατιωτικῶς ἐσταλμένος εἰρήνην τοῖς ἐμοῖς ὑπηκόοις χαρίζομαι. οὐκ αὐτομάτους ἡ τύχη κατὰ τὸν μῦθον τὰς πόλεις ἀποκομίζει σοι, ἀλλ᾽ ὅτι καὶ πρὸ μακροῦ καταστοχάζῃ τῶν ἀποβάσεων, καὶ τῷ προληπτικῷ τῶν ἔργων καὶ τῷ ἀμφιδεξίῳ τῶν βουλευμάτων τὰς τῶν ἐχθρῶν ἐπιχειρήσεις ἀναστέλλεις καὶ πόρρωθεν. ὢ οἷόν μοι τὸ τῆς φύσεως ὀξύτατον, βασιλεῦ, ἡλίκον τὸ προμηθές, ὅσον τὸ ἀγχίνουν. ἔχεις τὴν εὐτολμίαν ἐξ εὐανδρίας καὶ τὴν ἀγχίνοιαν ἐκ συνέσεως, ἐντεῦθεν ἐπιχειρή⟨σ⟩εις ἐχθρῶν ἀναστέλλονται, ἀναφράττονται ποταμοί, ὁδοὶ θαλάσσης ἐναποκλείονται. τῇ ποικιλίᾳ τῶν σῶν ἀρίστων μεταχειρίσεων ὁ Σκύθης ἀνακόπτεται τῆς ὁρμῆς, ὁ Πέρσης ἀποκρούεται τοῦ φρυάγματος, ὁ Τριβαλλὸς ταῖς λόχμαις ἐναποκλείεται, ὁ Μασαγέτης καὶ Γέτης δεδίττεται, ὁ θρασὺς Ἀλαμανὸς ὁ τὴν ὀφρῦν ὑπὲρ τὸν κρόταφον αἴρων καὶ ὀνειροπολῶν τὰ κενώτατα καὶ ἐπὶ κενοῖς ἐρειδόμενος καὶ ἀνεμώλιά τινα διανοούμενος σκέμματα, πείρᾳ μαθὼν σου τὴν μεγαλονίκου ἡμῶν αὐτοκράτορος εὐανδρίαν καὶ γενναιότητα, φρίττει τὰ τῆς εὐβουλίας, βασιλεῦ, τὰ τῶν νοημάτων ὑψηλὰ καὶ δραστήρια, καὶ συστέλλεται τῆς ὁρμῆς καὶ τοῦ θράσους ἀναχαιτίζεται.

3 Τί φῂς ὁ τῶν Σικελῶν ἀρχηγέτης, ὁ διαπλοϊζόμενος κιβδήλοις βουλαῖς καὶ ἀδοκίμοις ἐννοίαις ἐπινηχόμενος; ὁρᾷς τὸ τοῦ βασιλέως προβούλιον, τὴν ἑτοιμασίαν τὰς τριήρεις τοὺς στρατιώτας. εἰ βύσεις τὰ ὦτα ὡσεὶ ἀσπίς, φωνῆς σαλπίγγων οὐκ ἐπακούσῃ, καὶ παλιννοστήσεις καὶ νικήσεις φυγών. εἰ δ᾽ οὖν πεπηγὼς ἔσῃ τῷ δέει, καὶ μῦθον ἱστορήσεις Γοργόνειον, καὶ κατακαλύψουσί σε ὄρη θαλασσῶν καὶ βουνοὶ κυμάτων ἐπικαλύψονται καὶ ἐμβοθρευθήσῃ τοῖς ὕδασι καὶ ἐκλικμιεῖ σε ὡσεὶ χνοῦν ἄνεμος τὸ τοῦ βασιλέως αἰθέριον καὶ ὡς πρηστηριώδης σκηπτὸς ἐκτεφρώσει σε καὶ ὡς ἀπὸ πυρὸς καήσῃ καὶ ὡς ἀπὸ χαλάζης κρυσταλλωθήσῃ. ταῦτα πανταχόθεν παρακινεῖ καὶ ἐπανατείνεταί σοι τὸ τοῦ βασιλέως εὐμήχανον· ναυλοχοῦσί σοι μὲν αἱ τριήρεις, ἀλλ᾽ ὁ ἀπόπλους ταύταις ἐπέχεται· ὁπλίζεταί σοι τὸ στρατιωτικόν, ἀλλὰ φοβεῖται τὸ τοῦ βασιλέως ἐμπύριον. συκίνη σοι πάντως ἐπικουρία, τὸ τῶν Ἀκυλίων συμμαχικόν· μεμέστωνται νῆσοι τῶν ὀστέων αὐτῶν, ἅλις τῶν πτωμάτων αἱ παράλιοι καταγωγαί, γεγόνασι βρῶμα τοῖς πτηνοῖς τῶν θνησιμαίων τὰ λείψανα. δεινὸν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/126 UNIVERSITÄT LEIPZIG

τὸ φῦλον καὶ τούτοις δειλότερον τοὺς παρακτίους δεδίττεται (τούτοις γὰρ ἀπέθετο τοὺς νεκρούς), φρίσσει τὰς σημαίας καὶ τὰ σκῆπτρα τοῦ αὐτοκράτορος, ὑφ᾽ ὧν ἐφύσησε τὴν ψυχήν. ἢ γοῦν τοῦ θράσους καὶ τῆς ἐλευθερίας τὸ ταπεινὸν ἀντάλλαξαι καὶ τὸ δούλιον ἢ τῆς ζωῆς ἀντικληρώση τὸν θάνατον. ἐπὶ γὰρ τῷ στερρῷ τούτῳ καὶ ἀπαρατινάκτῳ προβόλῳ τῷ βασιλεῖ ἕτερος ῾πύργος ἰσχύος᾽ ἡμῖν ἀνέστη καὶ ἐπὶ τοῖς ὀχυρώμασιν ὀχύρωμα ἐπιδέδοται καὶ ἐπὶ τῇ ἀκαταμαχήτῳ δυνάμει τοῦ αὐτοκράτορος ἑτέρα συνεπεσκίασε δύναμις. ὁ ἡλιοειδὴς βασιλεὺς τὸ τῆς ὡραιότητος ἄγαλμα ὁ τῶν χαρίτων λειμών, ἡ στήλη τῆς ἀστειότητος τὸ κοινὸν περιλάλημα· ὁ συνανατέλλων καὶ συναστράπτων τῷ ἡλίῳ τῷ βασιλεῖ καὶ συστρατηγῶν καὶ συγκαταστρατηγῶν καὶ συντροπαιουχῶν καὶ τὰς νίκας συμμεριζόμενος. θρηνείτω τοίνυν τὰ βάρβαρα, ὀλολυζέτω τὰ ἀντικείμενα,
277] οἰμωζέτω τὰ ἔκφυλα· ἢ μᾶλλον | χαιρέτω τοῖς οὕτω καλοῖς δεσπόταις δουλογραφούμενα, οἷς καὶ τὸ κράτος αἰώνιον καὶ ἡ ῥώ⟨μ⟩η πολυε⟨ιδής⟩.

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/129
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/130
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/131
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id416081606/132
UNIVERSITÄT LEIPZIG